## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ Παγκάλου καὶ τῆς ὑπὸ τοῦ Κυρίου καταρασθείσης καὶ ξηρανθείσης Συκῆς.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν ζ΄ τῆς νυκτός, σημαίνει καὶ συναχθέντες ἐν τῷ νάρθηκι ἀναγινώσκομεν ὡς ἔθος τὸ καθ' ἡμέραν μεσονυκτικόν, μετὰ τῶν συνήθων τροπαρίων αὐτοῦ, ποιοῦντες καὶ τὰς ἐν αὐτῷ τυπωμένας μετανοίας. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ μεσονυκτικοῦ, εἰσερχόμεθα ἐν τῷ ναῷ καὶ ἀρχόμεθα τοῦ ὄρθρου, οὕτω: Βαλὼν ὁ ἱερεὺς τὴν ἐξ ἔθους μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ ἐνδυθεὶς ἐπιτραχήλιον, λαβὼν θυμιατὸν ἀνοίγει τὴν ὡραίαν πύλην, καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν λέγει τό· *Εὐλογητὸς ὁ Θεός*...καὶ ἄρχεται θυμιῶν τὸν ναόν, ὡς ἔθος. Ὁ δὲ ἀναγνώστης μετὰ τόν· *Εὐλογητόν*...λέγει τὸ τρισάγιον. Ὁ δὲ ἱερεὺς τό· *Ὅτι σοῦ ἐστιν*...ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ΄, τό· *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ ἀναγινώσκει βραδέως τοὺς ψαλμούς· *Ἐπακούσαι σου Κύριος*...καί· *Κύριε ἐν τῇ δυνάμει σου*...Εἶτα· *Δόξα, καὶ νῦν*... καὶ εὐθὺς τὸ τρισάγιον. Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*...καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*...Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ* ἑκουσίως...Καὶ νῦν· *Προστασία φοβερά*...Ὁ δὲ ἱερεύς, θυμιάσας ἤδη καὶ ἐπιστρέψας, λέγει πρὸ τῆς ἁγίας Τραπέζης τὴν ἐκτενῆ. Καὶ εὐθὺς ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἑξάψαλμον. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν. Εἶτα ψάλλομεν μετὰ τῶν συνήθων στίχων, τὸ μέγα ἀργὸν *Ἀλληλουϊάριον* δίς, καὶ τὸ μικρὸν δὶς· εἶθ' οὕτως τὸ τροπάριον· *Ἰδοὺ ὁ νυμφίος ἔρχεται*...ἐκ τρίτου, δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως· εἰς τὸ τέλος τοῦ πρώτου λέγομεν εἰς τὴν κατάληξιν· *Προστασίαις τῶν ἀσωμάτων*...εἰς τὸ τέλος τοῦ δευτέρου συνάπτομεν τὸ χαρακτηριστικὸ τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ναοῦ, λέγοντες· *Πρεσβείαις τοῦ ὁσίου, ἢ τοῦ ἀθλοφόρου, ἢ τοῦ*

*ἱεράρχου...*,ἐὰν ὁ ναὸς ᾖ ἡ μονὴ τιμᾶται ἐπ' ὀνόματι τοῦ Χριστοῦ ἢ τῆς Θεοτόκου, εἰς τὸ τέλος τοῦ δευτέρου λέγομεν· *Πρεσβείαις τῶν ἁγίων...* εἰς δὲ τὸ τέλος τοῦ τρίτου λέγομεν· *Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς...*

Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ*΄, *Δόξα, καὶ νῦν...*Καὶ ἀναγινώσκει τὸ Δ΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος...*Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Τὰ πάθη τὰ σεπτά...*Δόξα...Καὶ νῦν· τὸ αὐτό...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ*΄, *Δόξα, καὶ νῦν...*Καὶ ἀναγινώσκει τό Ε΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...*Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Ἀόρατε Κριτά...*Δόξα...Καὶ νῦν· *τὸ αὐτό...*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ΄, Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Στ΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...*Ὁ χορός· Ἀμήν, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Τῶν παθῶν τοῦ Κυρίου τὰς ἀπαρχάς...*Δόξα...Καὶ νῦν· *τὸ αὐτό...*Καὶ εὐθὺς ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς...*καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον τοῦ ὄρθρου· *Ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν...*(Ματθ. κα΄ 18-43).

Μεθ' ὃ ὁ ν΄ ψαλμὸς χῦμα, καὶ μετ' αὐτὸν εὐθὺς ψάλλομεν τὸ τριῴδιον· *Τῷ τὴν ἄβατον...*εἰς ιδ΄ τροπάρια εἰς ἑκάστην ᾠδὴν ἤτοι· τὸν εἱρμὸν ἄνευ στίχου δίς, τὰ τροπάρια εἰς ιβ΄ μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι,* καὶ εἰς τὰ δύο τελευταῖα τὸ· *Δόξα...*καὶ τὸ· *Καὶ νῦν...*Ἔσχατον δὲ μεθ' ἑκάστην ᾠδήν, ὁ εἱρμὸς αὐτῆς πάλιν ὡς καταβασία. Μετὰ τὴν α΄ ᾠδήν, αἴτησις καὶ ἐκφώνησις ὑπὸ τοῦ ἱερέως· *Σὺ γὰρ ὁ βασιλεύς...*Εἶτα τὸ κοντάκιον· *Ὁ Ἰακὼβ ὠδύρετο...*καὶ ὁ οἶκος· *Ἐπὶ τῷ ὀδυρμῷ...*Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Μεθ' ὃ ἡ η΄ ᾠδὴ τοῦ τριῳδίου,

ἐν ᾗ ἀντὶ τοῦ· *Δόξα...*λέγομεν τὸ· *Εὐλογοῦμεν Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον...*εἰς δὲ τὴν καταβασίαν προτάσσομεν τὸ· *Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.* Μετ' αὐτὴν δέ, ἐκφωνεῖ ὁ ἱερεὺς· *Τὴν Θεοτόκον καὶ μητέρα...*καὶ ψάλλεται εὐθὺς ἡ θ′ ᾠδὴ τοῦ Τριῳδίου, ἡ καταβασία, καὶ ἡ αἴτησις.

Εἶτα τὸ ἐξαποστειλάριον· *Τὸν Νυμφῶνά σου βλέπω...*ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν τὰ δύο ἰδιόμελα· *Ἐρχόμενος ὁ Κύριος...*καὶ *Φθάσαντες πιστοί...*δευτεροῦντες αὐτά. Δόξα...Καὶ νῦν· *Κύριε ἐρχόμενος πρὸς τὸ πάθος...*Εἶτα χῦμα τό· *Σοὶ δόξα πρέπει...*Ὁ ἱερεὺς τὸ· *Πληρώσωμεν...*Εἶτα τὰ ἀποστιχα γ′ ἰδιόμελα· *Κύριε πρὸς τὸ μυστήριον...Κύριε τὰ τελεώτατα φρονεῖν...Τῆς ξηρανθείσης συκῆς...*μετὰ τῶν στίχων αὐτῶν. Δόξα...Καὶ νῦν· *Δευτέραν Εὔαν...*Εἶτα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι...*Τρισάγιον καὶ τὸ ἀπολυτίκιον· *Ἐν τῷ ναῷ ἑστῶτες...*Κύριε ἐλέησον μ′. Δόξα, καὶ νῦν· *Τὴν τιμιωτέραν...Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ...*Ὁ ἱερεὺς· *Ὁ ὢν εὐλογητός...*ὁ προεστὼς ἢ ὁ ἱερεὺς· *Ἐπουράνιε βασιλεῦ...*καὶ ποιοῦμεν τὰς γ′ μεγάλας μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Εὐφραίμ, τὰς ἑτέρας μικρὰς ιβ′ καὶ αὖθις τὴν μίαν μεγάλην. Εὐθὺς συνάπτομεν τὴν α′ ὥραν, λέγοντες τὸ· *Δεῦτε προσκυνήσωμεν...*Εἰς δὲ τὸ τρισάγιον αὐτῆς τὸ κοντάκιον· *Ὁ Ἰακὼβ ὠδύρετο...*καὶ τὰ λοιπὰ τῆς α′ ὥρας.

## Ἐν ταῖς ὥραις

Περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς τρίτης ὥρας λέγοντες τὸ· *Βασιλεῦ οὐράνιε...*Τρ*ισάγιον...Κύριε ἐλέησον* ιβ′. *Δεῦτε προσκυνήσωμεν...*γ′ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς γ′ ὥρας, μεθ' οὓς στιχολογοῦμεν τὸ Ζ′ κάθισμα τοῦ Ψαλτηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς στιχολογίας τοῦ Ψαλτηρίου, ψάλλομεν, ὡς ἔθος τὸ προκείμενον· *Κύριε ὁ τὸ πανάγιον σοῦ Πνεῦμα...*κατὰ τὴν τάξιν αὐτοῦ. Μετὰ δὲ τὸ θεοτοκίον τοῦ προκειμένου γίνεται ἀνάγνωσις ὡρισμένου τμήματος τοῦ *Τετραευαγγελίου·* εἰς τὴν γ′ ὥραν τῆς Μεγάλης Δευτέρας ἀναγινώσκομεν τὴν πρώτην ἀνάγνωσιν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον. Ὁ δὲ ἱερεὺς θυμιᾷ ἅπαντα τὸν ναὸν καὶ

τοὺς ἀδελφούς. Μετὰ τὴν ἀνάγνωσιν, τὰ λοιπὰ τῆς γ΄ ὥρας. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Ὁ Ἰακὼβ ὠδύρετο*...Εὐθὺς τό· *Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ*...αἱ συνήθεις μετάνοιαι, καὶ ἡ εὐχή· *Δεσπότα Θεέ*... Μεθ' ἣν τό· *Δεῦτε προσκυνήσωμεν*...καὶ συνάπτομεν καὶ τὴν ϛ' ὥραν κατὰ τὴν τάξιν αὐτῆς ἐν ᾗ καὶ στιχολογοῦμεν τὸ Η΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἶτα τὸ προκείμενον αὐτῆς· *Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ*...μετὰ τῶν στίχων καὶ τοῦ θεοτοκίου αὐτοῦ. Μετὰ δὲ τοῦτο ἀναγινώσκομεν τὸ τροπάριο καὶ τὴν προφητεία τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῆς· *Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει*...(Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. Α΄ 1-20). Συμπληρωθείσης δὲ τῆς ἀναγνωσης τῆς προφητείας γίνεται ἡ ἀνάγνωσις ὡρισμένου τμήματος τοῦ *Τετραευαγγελίου* κατὰ τὴν προγραφεῖσαν διάταξιν· εἰς τὴν ἕκτην ὥραν τῆς Μεγάλης Δευτέρας ἀναγινώσκομεν τὴν δευτέραν ἀνάγνωσιν τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου. Εἶτα τὰ λοιπὰ τῆς ὥρας καὶ ἀπόλυσις τελεία.

Περὶ δὲ ὥραν ἐνάτην τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς θ΄ ὥρας λέγοντες τό· *Βασιλεῦ οὐράνιε*...*Τρισάγιον*...*Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς θ΄ ὥρας μεθ' οὓς ψάλλομεν τὸ προκείμενον αὐτῆς μετὰ τῶν στίχων αὐτοῦ καὶ τοῦ θεοτοκίου αὐτοῦ. Εὐθὺς γίνεται ἀνάγνωσις εἰς τὸ *Τετραευαγγέλιον*, ὡς προεγράφη· εἰς τὴν ἐνάτην ὥραν τῆς Μεγάλης Δευτέρας ἀναγινώσκομεν τὴν πρώτην ἀνάγνωσιν τοῦ κατὰ Μᾶρκον Εὐαγγελίου. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Ὁ Ἰακὼβ ὠδύρετο*...Εἶτα τὰ λοιπὰ τῆς θ΄ ὥρας ὡς καθ' ἑκάστην.

## Ἐν τῷ Ἑσπερινῷ

Μετὰ τὴν ἀπόλυσιν τῆς θ΄ ὥρας, ἀρχόμεθα τοῦ ἑσπερινοῦ οὕτω: Μετὰ τό· *Εὐλογημένη ἡ βασιλεία*...καὶ τὸν προοιμιακόν, ἡ συνήθης στιχολογία τοῦ· *Πρὸς Κύριον*...Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν τὰ ἐν τοῖς αἴνοις τοῦ ὄρθρου καὶ ἐν τοῖς ἀποστίχοις ϛ' ἰδιόμελα, δευτεροῦντες τὰ τέσσαρα πρῶτα, οὕτω: *Ἐρχόμενος ὁ Κύριος*...δίς, *Φθάσαντες πιστοί*...δίς, *Κύριε ἐρχόμενος πρὸς τὸ πάθος*...,δίς. *Κύριε πρὸς τὸ μυστήριον*...δίς, *Κύριε τὰ τελεώτατα φρονεῖν*...*Τῆς ξηρανθείσης*

*συκῆς*...Δόξα...Καὶ νῦν· *Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν*...Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου...τὸ· *Φῶς ἱλαρόν*...καὶ εὐθὺς τὰ δύο ἀναγνώσματα τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῶν· *Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ*...(τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ. Α΄ 1-20), και· *Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι*...(Ἰὼβ τὸ Ἀνάγνωσμα. Κεφ. Α΄ 1-12). Εἶτα τὸ· *Κατευθυνθήτω*...καὶ μετὰ τοῦτο, εὐθὺς τὸ· *Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου*...καὶ ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς λειτουργίας τῆς Μεγάλης Δευτέρας· *Καθημένου τοῦ Ἰησοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν*... (Ματθ. κδ΄ 3-35). Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων δώρων.

## Εἰς τὸ ἀπόδειπνον

Περὶ ὥραν ια΄ τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, λέγομεν τὸ μέγα ἀποδεῖπνον μετὰ τῶν μετανοιῶν αὐτοῦ, ψάλλοντες τοὺς στίχους καὶ τὰ τροπάρια αὐτοῦ, ὡς καὶ ἐν ταῖς παρελθούσαις ἡμέραις τῆς Μεγάλης Τεσσαρακοστῆς. Μετὰ δὲ τὸ· *Δόξα ἐν ὑψίστοις Θεῷ*... ψάλλομεν τὸ Τριῴδιον· *Πρόσεχε οὐρανέ*...οὗτινος ἄρχεται ὁ β΄ χορός. Λέγομεν δὲ εἰς τὰ τροπάρια αὐτοῦ τὸν στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.* Μετὰ τὴν β΄ ᾠδήν, τὸ κάθισμα· *Εὐσπλαχνία κινούμενος Χριστέ*... ἅπαξ. Μετὰ δὲ τὴν θ΄ αὖθις ὁ εἱρμὸς αὐτῆς· *Τὸν προδηλωθέντα*...ἅπαξ. Εἶτα, τὸ τρισάγιον, ψάλλομεν τὸ· *Κύριε τῶν δυνάμεων*...καὶ τὰ λοιπὰ τοῦ μεγάλου ἀποδείπνου. Εἰς τὴν συγχώρησιν ψάλλομεν τὸ· *Πάντων προστατεύεις αγαθή*...Ἀπόλυσις. Εἶτα ἀπερχόμεθα ἐν τοῖς οἰκείοις ἢ ἐν τοῖς κελλίοις, καὶ ἀναγινώσκομεν τὸ· *Τοῖς μισοῦσιν καὶ ἀδικοῦσιν*...

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τρίτῃ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τρίτῃ τῆς τῶν δέκα παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.

### Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν ζ΄ τῆς νυκτός, σημαίνει καὶ συναχθέντες ἐν τῷ νάρθηκι ἀναγινώσκομεν ὡς ἔθος τὸ καθ' ἡμέραν μεσονυκτικόν, μετὰ τῶν συνήθων τροπαρίων αὐτοῦ, ποιοῦντες καὶ τὰς ἐν αὐτῷ τυπωμένας μετανοίας. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ μεσονυκτικοῦ, εἰσερχόμεθα ἐν τῷ ναῷ καὶ ἀρχόμεθα τοῦ ὄρθρου, οὕτω: Βαλῶν ὁ ἱερεὺς τὴν ἐξ ἔθους μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ ἐνδυθεὶς ἐπιτραχήλιον, λαβὼν θυμιατὸν ἀνοίγει τὴν ὡραίαν πύλην, καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν λέγει τό· *Εὐλογητὸς ὁ Θεός*...καὶ ἄρχεται θυμιῶν τὸν ναόν, ὡς ἔθος. Ὁ δὲ ἀναγνώστης μετὰ τόν· *Εὐλογητόν*...λέγει τὸ τρισάγιον. Ὁ δὲ ἱερεὺς τό· *Ὅτι σοῦ ἐστιν*...ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ΄, τό· *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ ἀναγινώσκει βραδέως τοὺς ψαλμούς· *Ἐπακούσαι σου Κύριος*...καί· *Κύριε ἐν τῇ δυνάμει σου*...εἶτα· *Δόξα, καὶ νῦν*... καὶ εὐθὺς τὸ τρισάγιον. Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*...καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*...Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ* ἑκουσίως...Καὶ νῦν· *Προστασία φοβερά*...Ὁ δὲ ἱερεὺς, θυμιάσας ἤδη καὶ ἐπιστρέψας, λέγει πρὸ τῆς ἁγίας Τραπέζης τὴν ἐκτενῆ. Καὶ εὐθὺς ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἑξάψαλμον. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν. Εἶτα ψάλλομεν μετὰ τῶν συνήθων στίχων, τὸ μέγα ἀργὸν *Ἀλληλουϊάριον* δίς, καὶ τὸ μικρὸν δίς· εἶθ' οὕτως τὸ τροπάριον· *Ἰδοὺ ὁ νυμφίος ἔρχεται*...ἐκ τρίτου, δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως εἰς τὸ τέλος τοῦ πρώτου λέγομεν εἰς τὴν κατάληξιν· *Πρεσβείαις τοῦ Προδρόμου σῶσον ἡμᾶς*...εἰς τὸ τέλος τοῦ δευτέρου καὶ τοῦ τρίτου λέγομεν ὅτι καὶ ἐν τῇ Μεγάλῃ Δευτέρᾳ.

Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ΄, Δόξα, καὶ νῦν*...Καὶ ἀναγινώσκει τὸ Θ΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος...*Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Τὸν νυμφίον ἀδελφοὶ ἀγαπήσωμεν...* Δόξα...Καὶ νῦν· τὸ αὐτό...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ΄, Δόξα, καὶ νῦν*...Καὶ ἀναγινώσκει τό Ι΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...*Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Βουλευτήριον Σωτὴρ*...Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ΄, Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Ια΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ΄. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...*Ὁ χορός· Ἀμήν, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ*...Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Καὶ εὐθὺς ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς*...καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον τοῦ ὄρθρου· *Συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι κατὰ τοῦ Ἰησοῦ...*(Ματθ. κβ΄ 15-48, κγ΄ 1-39).

Μεθ' ὃ ὁ ν΄ ψαλμὸς, χῦμα καὶ εὐθὺς μικρὰ συναπτὴ καὶ ἐκφώνησις ὑπὸ τοῦ ἱερέως· *Σὺ γὰρ ὁ βασιλεύς*...Εἶτα τὸ κοντάκιον· *Τὴν ὥραν ψυχὴ*...καὶ ὁ οἶκος· *Τί ῥᾳθυμεῖς, ἀθλία ψυχή μου;*...Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Και εὐθὺς ψάλλομεν τὸ διῴδιον· *Τῷ δόγματι τῷ τυραννικῷ*...εἰς ιδ΄ τροπάρια εἰς ἑκάστην ᾠδὴν ἤτοι· τὸν εἱρμὸν ἄνευ στίχου δίς, τὰ τροπάρια εἰς ιβ΄ μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, καὶ εἰς τὰ δύο τελευταῖα τὸ· *Δόξα...*καὶ τὸ· *Καὶ νῦν*...Ἔσχατον δὲ μεθ' ἑκάστην ᾠδήν, ὁ εἱρμὸς αὐτῆς πάλιν ὡς καταβασία. Μετὰ τὴν η΄ ᾠδὴν, ἐκφωνεῖ ὁ ἱερεὺς· *Τὴν Θεοτόκον καὶ μητέρα*...καὶ ψάλλεται εὐθὺς ἡ θ΄ ᾠδὴ τοῦ διῳδίου, ἡ καταβασία, καὶ ἡ αἴτησις.

Εἶτα τὸ ἐξαποστειλάριον· *Τὸν Νυμφῶνά σου βλέπω*...ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ δύο ἰδιόμελα· *Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου*...*Ὁ τῆς ψυχῆς ῥᾳθυμία νυστάξας*...δευτεροῦντες αὐτά. Δόξα...Καὶ νῦν· *Τοῦ κρύψαντος τὸ τάλαντον*...Εἶτα χῦμα τό· *Σοὶ δόξα πρέπει*...Ὁ ἱερεὺς τὸ· *Πληρώσωμεν*...Εἶτα τὰ ἀποστιχα γ´ ἰδιόμελα· *Δεῦτε πιστοὶ ἐπεργασώμεθα*... *Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' ἀγγελικῶν Δυνάμεων*...*Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος*...μετὰ τῶν στίχων αὐτῶν. Δόξα...Καὶ νῦν· *Ἰδού σοι τὸ τάλαντον*... Εἶτα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*...Τρισάγιον καὶ τὸ ἀπολυτίκιον· *Ἐν τῷ ναῷ ἑστῶτες*...Κύριε ἐλέησον μ´. Δόξα, καὶ νῦν· *Τὴν τιμιωτέραν*...*Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ*...Ὁ ἱερεὺς· *Ὁ ὢν εὐλογητός*...ὁ προεστὼς ἢ ὁ ἱερεὺς· *Ἐπουράνιε βασιλεῦ*...καὶ ποιοῦμεν τὰς γ´ μεγάλας μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Εὐφραίμ, τὰς ἑτέρας μικρὰς ιβ´ καὶ αὖθις τὴν μίαν μεγάλην. Εὐθὺς συνάπτομεν τὴν α´ ὥραν, λέγοντες τὸ· *Δεῦτε προσκυνήσωμεν*...Εἰς δὲ τὸ τρισάγιον αὐτῆς τὸ κοντάκιον· *Τὴν ὥραν ψυχὴ*...καὶ τὰ λοιπὰ τῆς α´ ὥρας.

## Ἐν ταῖς ὥραις

Περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς γ´ ὥρας λέγοντες τὸ· *Βασιλεῦ οὐράνιε*...Τρ*ισάγιον*...*Κύριε ἐλέησον* ιβ´. *Δεῦτε προσκυνήσωμεν*...γ´ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς γ´ ὥρας, μεθ' οὓς στιχολογοῦμεν τὸ Ιβ´ κάθισμα τοῦ Ψαλτηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς στιχολογίας τοῦ Ψαλτηρίου, ψάλλομεν, ὡς ἔθος τὸ προκείμενον· *Κύριε ὁ τὸ πανάγιον σοῦ Πνεῦμα*...κατὰ τὴν τάξιν αὐτοῦ. Ευθύς γίνεται ἡ δευτέρα ἀνάγνωσις εἰς τὸ κατὰ Μᾶρκον Εὐαγγέλιον. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Τὴν ὥραν ψυχὴ*...Εὐθὺς τὸ· *Κύριε ἐλέησον* μ´. *Ὁ ἐν παντὶ καιρῷ*...αἱ συνήθεις μετάνοιαι, καὶ ἡ εὐχὴ· *Δεσπότα Θεέ*... Μεθ' ἣν τὸ· *Δεῦτε προσκυνήσωμεν*...καὶ συνάπτομεν καὶ τὴν ς' ὥραν κατὰ τὴν τάξιν αὐτῆς, ἐν ᾗ καὶ στιχολογοῦμεν τὸ Ιγ´ κάθισμα τοῦ Ψαλτηρίου. Εἶτα τὸ προκείμενον αὐτῆς· *Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρα*...μετὰ τῶν στίχων καὶ τοῦ θεοτοκίου αὐτοῦ. Μετὰ δὲ τοῦτο ἀναγινώσκομεν τὸ τροπάριο καὶ τὴν προφητεία

τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῆς· *Ἐν τῷ πορεύεσθαι τὰ ζῷα...* (Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. Α΄ 21-28). Συμπληρωθείσης δὲ τῆς ἀναγνωσης τῆς προφητείας γίνεται ἡ πρώτη ἀνάγνωσις εἰς τὸν κατὰ Λουκᾶν Εὐαγγέλιον. Εἶτα τὰ λοιπὰ τῆς ὥρας καὶ ἀπόλυσις τελεία.

Περὶ δὲ ὥραν ἐνάτην τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς θ΄ ὥρας λέγοντες τὸ· *Βασιλεῦ οὐράνιε...Τρισάγιον...Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν...*γ΄ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς θ΄ ὥρας μεθ᾽ οὓς ψάλλομεν τὸ προκείμενον αὐτῆς μετὰ τῶν στίχων αὐτοῦ καὶ τοῦ θεοτοκίου αὐτοῦ. Εὐθὺς γίνεται ἡ δευτέρα ἀνάγνωσις εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Τὴν ὥραν ψυχὴ...*Εἶτα τὰ λοιπὰ τῆς θ΄ ὥρας ὡς καθ᾽ ἑκάστην.

## Ἐν τῷ Ἑσπερινῷ

Μετὰ τὴν ἀπόλυσιν τῆς θ΄ ὥρας, ἀρχόμεθα τοῦ ἑσπερινοῦ οὕτω: Μετὰ τὸ· *Εὐλογημένη ἡ βασιλεία...*καὶ τὸν προοιμιακόν, ἡ συνήθης στιχολογία τοῦ· *Πρὸς Κύριον...*Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα...*ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν τὰ ἐν τοῖς αἴνοις τοῦ ὄρθρου καὶ ἐν τοῖς ἀποστίχοις ϛ' ἰδιόμελα, δευτεροῦντες τὰ τέσσαρα πρῶτα, οὕτω: *Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σοῦ...*δίς, *Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας...*δίς, *Τοῦ κρύψαντος τὸ τάλαντον...*,δίς. *Δεῦτε πιστοὶ ἐπεργασώμεθα...*δίς, *Ὅταν ἔλθῃς ἐν δόξῃ μετ᾽ ἀγγελικῶν Δυνάμεων...Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος...*Δόξα...Καὶ νῦν· *Ἰδού σοι τὸ τάλαντον...*Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου...τὸ· *Φῶς ἱλαρόν...* καὶ εὐθὺς τὰ δύο ἀναγνώσματα τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῶν· *Κατέβη ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμὸν...*(τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ. Β΄ 5-10), καὶ· *Ἐγένετο ὡς ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ...*(Ἰὼβ τὸ Ἀνάγνωσμα. Κεφ. Α΄ 13-22). Εἶτα τὸ· *Κατευθυνθήτω...*καὶ μετὰ τοῦτο, εὐθὺς τὸ· *Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου...*καὶ ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς λειτουργίας τῆς Μεγάλης Τρίτης· *Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν...* (Ματθ. κδ΄ 36-51, κϛ' 1-2). Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων δώρων.

## Εἰς τὸ ἀπόδειπνον

Περὶ ὥραν ια´ τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, λέγομεν τὸ μέγα ἀποδεῖπνον μετὰ τῶν μετανοιῶν αὐτοῦ, ψάλλοντες τοὺς στίχους καὶ τὰ τροπάρια αὐτοῦ, ὡς καὶ ἐν ταῖς παρελθούσαις ἡμέραις τῆς Μεγάλης Τεσσαρακοστής. Μετὰ δὲ τὸ· *Δόξα ἐν ὑψίστοις Θεῷ...* ψάλλομεν τὸ Τριῴδιον· *Στειρωθέντα μου τὸν νοῦν...*οὗτινος ἄρχεται ὁ α´ χορός. Λέγομεν δὲ εἰς τὰ τροπάρια αὐτοῦ τὸν στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.* Μετὰ τὴν β´ ᾠδήν, τὸ κάθισμα· *Ἰδοὺ τὸ πονηρὸν...*ἅπαξ. Μετὰ δὲ τὴν θ´ αὖθις ὁ εἱρμὸς αὐτῆς· *Τὴν ὑπερφυῶς σαρκὶ...*ἅπαξ. Εἶτα, τὸ τρισάγιον, ψάλλομεν τὸ· *Κύριε τῶν δυνάμεων...*καὶ τὰ λοιπὰ τοῦ μεγάλου ἀποδείπνου. Εἰς τὴν συγχώρησιν ψάλλομεν τὸ· *Σφαγήν σου τὴν ἄδικον Χριστέ...*Ἀπόλυσις. Εἶτα ἀπερχόμεθα ἐν τοῖς οἰκείοις ἢ ἐν τοῖς κελλίοις, καὶ ἀναγινώσκομεν τὸ· *Τοῖς μισοῦσιν καὶ ἀδικοῦσιν...*Οὕτω δὲ λήγει τὸ μέγα ἀποδεῖπνον, καὶ τὸ· *Κύριε τῶν δυνάμεων...*

# Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τετάρτῃ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τετάρτῃ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ Πόρνης γυναικός, μνείαν ποιεῖσθαι οἱ θειότατοι Πατέρες ἐθέσπισαν, ὅτι πρὸ τοῦ σωτηρίου Πάθους μικρὸν τοῦτο γέγονεν.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν ζ΄ τῆς νυκτός, σημαίνει καὶ συναχθέντες ἐν τῷ νάρθηκι ἀναγινώσκομεν ὡς ἔθος τὸ καθ' ἡμέραν μεσονυκτικόν, μετὰ τῶν συνήθων τροπαρίων αὐτοῦ, ποιοῦντες καὶ τὰς ἐν αὐτῷ τυπωμένας μετανοίας. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ μεσονυκτικοῦ, εἰσερχόμεθα ἐν τῷ ναῷ καὶ ἀρχόμεθα τοῦ ὄρθρου, οὕτω: Βαλῶν ὁ ἱερεὺς τὴν ἐξ ἔθους μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ ἐνδυθεὶς ἐπιτραχήλιον, λαβὼν θυμιατὸν ἀνοίγει τὴν ὡραίαν πύλην, καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν λέγει τὸ· *Εὐλογητὸς ὁ Θεός*...καὶ ἄρχεται θυμιῶν τὸν ναόν, ὡς ἔθος. Ὁ δὲ ἀναγνώστης μετὰ τὸν· *Εὐλογητὸν*...λέγει τὸ τρισάγιον. Ὁ δὲ ἱερεὺς τὸ· *Ὅτι σοῦ ἐστιν*...ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ΄, τὸ· *Δεῦτε προσκυνήσωμεν...γ΄* καὶ ἀναγινώσκει βραδέως τοὺς ψαλμοὺς· *Ἐπακούσαι σου Κύριος*...καὶ· *Κύριε ἐν τῇ δυνάμει σου*...εἶτα· *Δόξα, καὶ νῦν*... καὶ εὐθὺς τὸ τρισάγιον. Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*...καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*...Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ* ἑκουσίως...Καὶ νῦν· *Προστασία φοβερά*...Ὁ δὲ ἱερεὺς, θυμιάσας ἤδη καὶ ἐπιστρέψας, λέγει πρὸ τῆς ἁγίας Τραπέζης τὴν ἐκτενῆ. Καὶ εὐθὺς ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἑξάψαλμον. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν. Εἶτα ψάλλομεν μετὰ τῶν συνήθων στίχων, τὸ μέγα ἀργὸν *Ἀλληλουϊάριον* δίς, καὶ τὸ μικρὸν δὶς· εἶθ' οὕτως τὸ τροπάριον· *Ἰδοὺ ὁ νυμφίος ἔρχεται*...ἐκ τρίτου, δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως εἰς τὸ τέλος τοῦ πρώτου λέγομεν εἰς τὴν κατάληξιν· *Δυνάμει τοῦ Σταυροῦ σου σῶσον ἡμᾶς*...εἰς τὸ τέλος τοῦ δευτέρου καὶ τοῦ τρίτου λέγομεν ὅτι καὶ ἐν τῇ Μεγάλῃ Δευτέρᾳ.

Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*...Καὶ ἀναγινώσκει τὸ Ιδ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται ἀργὼς τὸ κάθισμα· *Πόρνη προσῆλθέ σοὶ*...Δόξα...Καὶ νῦν· τὸ αὐτό...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*...Καὶ ἀναγινώσκει τό Ιε' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Ἰούδας ὁ δόλιος*...Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Ιστ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*...Ὁ χορός· Ἀμήν, καὶ ψάλλεται ἀργῶς τὸ κάθισμα· *Ἡ Πόρνη ἐν κλαυθμῷ*...Δόξα... Καὶ νῦν· *τὸ αὐτό*...Καὶ εὐθὺς ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς*... καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον τοῦ ὄρθρου· *Ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετὰ τοῦ Ἰησοῦ*...(Ἰωὰν. ιβ' 17-50).

Μεθ' ὃ ὁ ν' ψαλμὸς, χῦμα και εὐθὺς ψάλλομεν τὸ τριῴδιον· *Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας*...εἰς ιδ' τροπάρια εἰς ἑκάστην ᾠδὴν ἤτοι· τὸν εἱρμὸν ἄνευ στίχου δίς, τὰ τροπάρια εἰς ιβ' μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, καὶ εἰς τὰ δύο τελευταῖα τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...Ἔσχατον δὲ μεθ' ἑκάστην ᾠδήν, ὁ εἱρμὸς αὐτῆς πάλιν ὡς καταβασία. Μετά την γ' ωδήν, αίτησις καὶ εὐθὺς μικρὰ συναπτὴ καὶ ἐκφώνησις ὑπὸ τοῦ ἱερέως· *Σὺ γὰρ ὁ βασιλεύς*...Εἶτα τὸ κοντάκιον· *Ὑπὲρ τὴν Πόρνην Ἀγαθὲ*...καὶ ὁ οἶκος· *Ἡ πρῴην ἄσωτος Γυνὴ*...Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Μετὰ τὴν η' ᾠδὴν, ἐκφωνεῖ ὁ ἱερεὺς· *Τὴν Θεοτόκον καὶ μητέρα*...καὶ ψάλλεται εὐθὺς ἡ θ' ᾠδὴ τοῦ τριῳδίου, ἡ καταβασία, καὶ ἡ αἴτησις.

Εἶτα τὸ ἐξαποστειλάριον· *Τὸν Νυμφῶνά σου βλέπω*...ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ δ΄ ἰδιόμελα· *Σὲ τὸν τῆς Παρθένου Υἱόν*...*Τὸ πολυτίμητον μύρον*... *Ὅτε ἡ ἁμαρτωλός*...*Ὢ τῆς Ἰούδα ἀθλιότητος!*...Δόξα· *Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον*...Καὶ νῦν· *Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ*...Εἶτα χῦμα τό· *Σοὶ δόξα πρέπει*...Ὁ ἱερεὺς τὸ· *Πληρώσωμεν*...Εἶτα τὰ ἀποστιχα δ΄ ἰδιόμελα· *Σήμερον ὁ Χριστός*...*Ἤπλωσεν ἡ Πόρνη*...*Προσῆλθε Γυνὴ δυσώδης*...*Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον*...μετὰ τῶν στίχων αὐτῶν. Δόξα...Καὶ νῦν· *Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα Γυνὴ*...Εἶτα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*...Τρισάγιον καὶ τὸ ἀπολυτίκιον· *Ἐν τῷ ναῷ ἑστῶτες*... Κύριε ἐλέησον μ΄. Δόξα, καὶ νῦν· *Τὴν τιμιωτέραν*...*Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ*...Ὁ ἱερεὺς· *Ὁ ὢν εὐλογητός*...ὁ προεστὼς ἢ ὁ ἱερεὺς· *Ἐπουράνιε βασιλεῦ*...καὶ ποιοῦμεν τὰς γ΄ μεγάλας μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Εὐφραίμ, τὰς ἑτέρας μικρὰς ιβ΄ καὶ αὖθις τὴν μίαν μεγάλην. Εὐθὺς συνάπτομεν τὴν α΄ ὥραν, λέγοντες τὸ· *Δεῦτε προσκυνήσωμεν*...Εἰς δὲ τὸ τρισάγιον αὐτῆς τὸ κοντάκιον· *Ὑπὲρ τὴν Πόρνην Ἀγαθὲ*...καὶ τὰ λοιπὰ τῆς α΄ ὥρας.

## Ἐν ταῖς ὥραις

Περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς γ΄ ὥρας λέγοντες τὸ· *Βασιλεῦ οὐράνιε*...Τρι*σάγιον*...*Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς γ΄ ὥρας, μεθ' οὓς στιχολογοῦμεν τὸ Ιθ΄ κάθισμα τοῦ Ψαλτηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς στιχολογίας τοῦ Ψαλτηρίου, ψάλλομεν, ὡς ἔθος τὸ προκείμενον· *Κύριε ὁ τὸ πανάγιον σοῦ Πνεῦμα*...κατὰ τὴν τάξιν αὐτοῦ. Ευθύς γίνεται ἡ τρίτη ἀνάγνωσις εἰς τὸ κατὰ Λουκάν Εὐαγγέλιον. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Τὴν ὥραν ψυχὴ*...Εὐθὺς τὸ· *Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ*...αἱ συνήθεις μετάνοιαι, καὶ ἡ εὐχὴ· *Δεσπότα Θεέ*...Μεθ' ἣν τὸ· *Δεῦτε προσκυνήσωμεν*... καὶ συνάπτομεν καὶ τὴν ϛ' ὥραν κατὰ τὴν τάξιν αὐτῆς, ἐν ᾗ καὶ στιχολογοῦμεν τὸ Κ΄ κάθισμα τοῦ Ψαλτηρίου. Εἶτα τὸ προκείμενον αὐτῆς· *Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρα*...μετὰ τῶν στίχων καὶ τοῦ θεοτοκίου αὐτοῦ.

Μετὰ δὲ τοῦτο ἀναγινώσκομεν τὸ τροπάριο καὶ τὴν προφητεία τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῆς· *Εἶπε Κύριος πρός με...*(Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. Β΄ 3-10, Κεφ. Γ΄ 1-3). Συμπληρωθείσης δὲ τῆς ἀναγνωσης τῆς προφητείας γίνεται ἡ πρώτη ἀνάγνωσις εἰς τὸν κατὰ Ἰωάννην Εὐαγγέλιον. Εἶτα τὰ λοιπὰ τῆς ὥρας καὶ ἀπόλυσις τελεία.

Περὶ δὲ ὥραν ἐνάτην τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς θ΄ ὥρας λέγοντες τὸ· *Βασιλεῦ οὐράνιε...Τρισάγιον...Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν...γ΄* καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς θ΄ ὥρας μεθ' οὓς ψάλλομεν τὸ προκείμενον αὐτῆς μετὰ τῶν στίχων αὐτοῦ καὶ τοῦ θεοτοκίου αὐτοῦ. Εὐθὺς γίνεται ἡ δευτέρα ἀνάγνωσις εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Ὑπὲρ τὴν Πόρνην Ἀγαθὲ...*Εἶτα τὰ λοιπὰ τῆς θ΄ ὥρας ὡς καθ' ἑκάστην.

## Ἐν τῷ Ἑσπερινῷ

Μετὰ τὴν ἀπόλυσιν τῆς θ΄ ὥρας, ἀρχόμεθα τοῦ ἑσπερινοῦ οὕτω: Μετὰ τὸ· *Εὐλογημένη ἡ βασιλεία...*καὶ τὸν προοιμιακόν, ἡ συνήθης στιχολογία τοῦ· *Πρὸς Κύριον...*Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα...*ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν τὰ ἐν τοῖς αἴνοις τοῦ ὄρθρου καὶ ἐν τοῖς ἀποστίχοις ι΄ ἰδιόμελα: *Σὲ τὸν τῆς Παρθένου Υἱόν...Τὸ πολυτίμητον μύρον...Ὅτε ἡ ἁμαρτωλός...Ὢ τῆς Ἰούδα ἀθλιότητος!...Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον...Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ...Σήμερον ὁ Χριστός...Ἥπλωσεν ἡ Πόρνη...Προσῆλθε Γυνῆς δυσώδης καὶ βεβορβορωμένη...Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον...*Δόξα...Καὶ νῦν· *Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα Γυνὴ...*Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου...τὸ· *Φῶς ἱλαρόν...*καὶ εὐθὺς τὰ δύο ἀναγνώσματα τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῶν· *Ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις...*(τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ. Β΄ 11-22), καὶ· *Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη...*(Ἰὼβ τὸ Ἀνάγνωσμα. Κεφ. Β΄ 1-10). Εἶτα τὸ· *Κατευθυνθήτω...*καὶ μετὰ τοῦτο, εὐθὺς τὸ· *Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου...*καὶ ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς

λειτουργίας τῆς Μεγάλης Τρίτης· *Τοῦ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ...* (Ματθ. κϛ' 6-16). Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων δώρων.

Οὕτω δὲ λήγουσιν αἱ Προηγιασμέναι λειτουργίαι, ἀποδίδονται αἱ μετάνοιαι, καὶ σχολάζει τὸ Ψαλτήριον (πλὴν τοῦ κατὰ τὸ Μέγα Σάββατον στιχολογουμένου ἀμώμου).

## Εἰς τὸ ἀπόδειπνον

Περὶ ὥραν ια΄ τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ, λέγομεν τὸ μικρόν ἀποδεῖπνον ἐν τῷ νάρθηκι. Μετὰ δὲ τὸ· *Ἄξιόν ἐστιν...* ψάλλομεν τὸ τριῴδιον· *Ἀνώγεων ἐστρωμένον...*οὗτινος ἄρχεται ὁ β΄ χορός. Λέγομεν δὲ εἰς τὰ τροπάρια αὐτοῦ τὸν στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.* Μετὰ τὴν δ΄ ᾠδήν, τὸ κάθισμα· *Συνεσθίων Δεσπότα...* ἅπαξ. Μετὰ δὲ τὴν θ΄ αὖθις ὁ εἱρμὸς αὐτῆς· *Ἀσπόρου συλλήψεως...* ἅπαξ. Εἶτα, τὸ τρισάγιον, τὸ κοντάκιον τῆς Μεγάλης Πέμπτης· *Τὸν ἄρτον λαβὼν...*Τὸ Κύριε ἐλέησον μ΄. *Ὁ ἐν παντὶ καιρῷ...*καὶ μετὰ τὸ· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς...*εὐθὺς αἱ εὐχαὶ· *Ἄσπιλε ἀμόλυντε...*καὶ αἱ ἕτεραι· ἀπόλυσις μικρά...Εἶτα, τὸ· *Εὐξώμεθα...*καὶ τὸ· *Δι᾽ εὐχῶν...*

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ, οἱ καλῶς διαταξάμενοι θεῖοι Πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων Ἀποστόλων, καὶ τῶν ἱερων Εὐαγγελίων, παραδεδώκασιν ἡμῖν τέσσαρα τινα ἑορτάζειν· τὸν ἱερὸν Νιπτῆρα, τὸν μυστικὸν Δεῖπνον (δηλαδὴ τὴν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν Μυστηρίων), τὴν ὑπερφυᾶ Προσευχήν, καὶ τὴν Προδοσίαν αὐτήν.

### Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν ζ΄ τῆς νυκτός, σημαίνει καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ. Μεσονυκτικὸν δὲ οὐ λέγομεν μέχρι τῆς Δευτέρας τῆς Διακαινησίμου. Ἀλλ' εὐθὺς βαλῶν ὁ ἱερεὺς τὴν ἐξ ἔθους μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ ἐνδυθεὶς ἐπιτραχήλιον, λαβὼν θυμιατὸν ἀνοίγει τὴν ὡραίαν πύλην, καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν λέγει τὸ· *Εὐλογητὸς ὁ Θεός*...καὶ ἄρχεται θυμιῶν τὸν ναόν, ὡς ἔθος. Ὁ δὲ ἀναγνώστης μετὰ τὸν· *Εὐλογητὸν*...λέγει τὸ τρισάγιον. Ὁ δὲ ἱερεὺς τὸ· *Ὅτι σοῦ ἐστιν*...ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ΄, τὸ· *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ ἀναγινώσκει βραδέως τοὺς ψαλμούς· *Ἐπακούσαι σου Κύριος*...καὶ· *Κύριε ἐν τῇ δυνάμει σου*...εἶτα· *Δόξα, καὶ νῦν*...καὶ εὐθὺς τὸ τρισάγιον. Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*...καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*...Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ* ἑκουσίως...Καὶ νῦν· *Προστασία φοβερά*...Ὁ δὲ ἱερεὺς, θυμιάσας ἤδη καὶ ἐπιστρέψας, λέγει πρὸ τῆς ἁγίας Τραπέζης τὴν ἐκτενῆ. Καὶ εὐθὺς ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἑξάψαλμον. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν. Εἶτα ψάλλομεν μετὰ τῶν συνήθων στίχων, τὸ μέγα ἀργὸν *Ἀλληλουϊάριον* δίς, καὶ τὸ μικρὸν δὶς· εἶθ' οὕτως τὸ τροπάριον· *Ὅτε οἱ ἔνδοξοι μαθηταί*...ἐκ τρίτου, δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως. Καὶ εὐθὺς ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς*...καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον τοῦ ὄρθρου· *Ἤγγιζεν ἡ ἑορτὴ τῶν ἀζύμων*...(Λουκ. κβ΄ 1-39).

Εἶτα ὁ ν΄ ψαμὸς χῦμα, καὶ εὐθὺς ψάλλομεν τὸν κανόνα· *Τμηθείσῃ τμᾶται*...μετὰ τῶν εἱρμῶν εἰς ιδ΄ τροπάρια, ἤτοι τοὺς εἱρμοὺς ἄνευ στίχου ἀνὰ δύο, καὶ τὰ τροπάρια τετράκις ἕκαστον ἢ ἑξάκις, κατὰ τὴν ποσότητα, λέγοντες πρὸ ἑκάστου στίχου τὸ· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα ἑκάστης ᾠδῆς τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*... μεθ' ἕκαστην δ' ᾠδὴν ψάλλομεν πάλιν ὡς καταβασίαν τὸν εἱρμὸν αὐτῆς ἅπαξ. Ἀπὸ γ΄ ᾠδῆς, ἡ αἴτησις, καὶ τὸ κάθισμα· *Ὁ λίμνας καὶ πηγάς*... Δόξα· *Ταπεινούμενος*...Καὶ νῦν· *Συνεσθίων Δεσπότα*...Ἀφ' ἕκτης, ἡ αἴτησις, καὶ τὸ κοντάκιον· *Τὸν ἄρτον λαβών*...καὶ ὁ οἶκος· *Τῇ μυστικῇ ἐν φόβῳ τραπέζῃ*...Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Μετὰ τὴν η΄ ᾠδὴν, ἐκφωνεῖ ὁ ἱερεὺς· *Τὴν Θεοτόκον καὶ μητέρα*...καὶ ψάλλεται εὐθὺς ἡ θ΄ ᾠδὴ τοῦ κανόνος, ἡ καταβασία, καὶ ἡ αἴτησις.

Εἶτα τὸ ἐξαποστειλάριον· *Τὸν Νυμφῶνά σου βλέπω*...ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ δ΄ ἰδιόμελα· *Συντρέχει λοιπόν*...*Ἰούδας ὁ παράνομος*...*Ἰούδας ὁ προδότης δόλιος ὤν*...*Ἰούδας ὁ δοῦλος καὶ δόλιος*...Δόξα...Καὶ νῦν· *Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας*...Εἶτα χῦμα τό· *Σοὶ δόξα πρέπει*...Ὁ ἱερεὺς τὸ· *Πληρώσωμεν*...Εἶτα τὰ ἀποστιχα δ΄ ἰδιόμελα· *Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον*...*Σήμερον ὁ Ἰούδας*...*Ὁ τρόπος σου δολιότητος γέμει*...*Μηδεὶς ὦ πιστοὶ*...μετὰ τῶν στίχων αὐτῶν. Δόξα· *Ὁ τρόπος σου δολιότητος γέμει*...Καὶ νῦν· *Μυσταγωγών σου Κύριε τοὺς Μαθητὰς*...Εἶτα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*...Τρισάγιον καὶ τὸ ἀπολυτίκιον· *Ὅτε οἱ ἔνδοξοι μαθηταὶ*...ἅπαξ. Εἶτα ὁ ἱερεὺς τὴν ἐκτενῆ· *Ἐλέησον ἡμᾶς*...καὶ τὴν ἐκφώνησιν μεθ' ἣν λέγει· *Σοφία*, *Ὁ ὢν εὐλογητός*...ὁ προεστὼς ἢ ὁ ἱερεὺς· *Στερεώσαι Κύριος ὁ Θεός*...ὁ ἱερεὺς· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*. Ὁ ἀναγνώστης· *Τὴν τιμιωτέραν τῶν Χερουβίμ*... Καὶ εὐθὺς τὸ· *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ συνάπτομεν τὴν α΄ ὥραν· μετὰ δὲ τοὺς τρεῖς ψαλμοὺς αὐτῆς, *Δόξα καὶ νῦν*...*Ἀλληλούϊα γ΄*. *Κύριε ἐλέησον γ΄*. Δόξα, τὸ τροπάριον· *Ὅτε οἱ ἔνδοξοι μαθηταί*...Καὶ νῦν, τὸ θεοτοκίον τῆς ὥρας· *Τι σὲ καλέσωμεν*...Μεθ' ὃ τὸ τροπάριον τῆς προφητείας· *Ὁ ῥαπισθεὶς ὑπὲρ γένους*...Δόξα, καὶ νῦν· *τὸ αὐτὸ*...καὶ ἡ προφητεία μετὰ τῶν δύο αὐτῆς προκειμένων· *Κύριε, γνώρισόν μοι, καὶ*

*γνώσομαι*...(Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα. Κεφ. ΙΑ΄ 18-23, Κεφ. ΙΒ΄ 1-5, 9-11, 14-15). Εἶτα χῦμα οἱ στίχοι· *Τὰ διαβήματά μου*...ἅπαξ ἕκαστος, τρισάγιον καὶ τὸ κοντάκιον· *Τὸν ἄρτον λαβών*...Τό· *Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ*...*Κύριε ἐλέησον* γ΄. Δόξα, καὶ νῦν· *Τὴν τιμιωτέραν* τῶν *Χερουβίμ*...*Ἐν ὀνόματι Κυρίου*...ὁ ἱερεὺς· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς*...καὶ εὐθὺς ἡ εὐχὴ· *Χριστὲ τὸ φῶς τὸ ἀληθινόν*...καὶ γίνεται ἀπόλυσις οὕτω: *Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι*, ὁ ἀναγνώστης· *Δόξα, καὶ νῦν*...*Κύριε ἐλέησον* γ΄. *Εὐλόγησον*. Καὶ ὁ ἱερεὺς· *Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας ἐν τῷ νίψαι τοὺς πόδας τῶν μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν, Χριστὸς ὁ ἀληθινὸς κτλ*...καὶ εἶτα τό· *Δι' εὐχῶν*...

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν αὐταῖς Δόξα, τὸ τροπάριον· *Ὅτε οἱ ἔνδοξοι μαθηταί*... Καὶ νῦν, τὸ θεοτοκίον τῆς ὥρας. Εἰς δὲ τὸ τρισάγιον τὸ κοντάκιον· *Τὸν ἄρτον λαβών*...

**Σημείωσις:** Τό· *Εὐλογήσω τὸν Κύριον*...οὐ λέγεται ἐνταύθα, διὰ τὸ μέλλειν λεχθῆναι ἐν τῇ λειτουργίᾳ. Ἡ δὲ ἀπόλυσις τῶν ὡρῶν, ὡς καὶ ἡ τῆς λειτουργίας καὶ τοῦ ἀποδείπνου τὴν σήμερον, γίνεται μετὰ τοῦ προγραφέντος ἐν τῷ ὄρθρῳ χαρακτηριστικοῦ.

## Ἐν τῷ Ἑσπερινῷ

Περὶ ὥραν η΄ τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῷ ναῷ. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ διακόνου λαμβάνουσιν ὡς ἔθος καιρὸν καὶ ἐνδύονται τὰς ἱερατικὰς αὐτῶν στολάς. Καὶ ἐξερχόμενος ὁ διάκονος καὶ ἐν τῷ συνήθει τόπῳ στάς, ἐκφωνεῖ· *Εὐλόγησον Δεσπότα*, καὶ ὁ ἱερεὺς· *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός*...Ὁ δὲ προεστὼς λέγει· *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ ἀναγινώσκει τὸν προοιμιακὸν ψαλμόν, μεθ' ὃν γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ διακόνου, καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν. Εἶτα ψάλλομεν τό· *Κύριε ἐκέκραξα*...ἱστῶμεν δὲ ἐν αὐτῷ στίχους ι΄ καὶ ψάλλομεν τὰ εἰς τοὺς αἴνους πέντε ἰδιόμελα· *Συντρέχει λοιπόν*...*Ἰούδας ὁ*

*παράνομος...Ἰούδας ὁ προδότης δόλιος ὢν...Ἰούδας ὁ δοῦλος καὶ δόλιος...Ὃν ἐκήρυξεν Ἀμνὸς Ἠσαΐας*...δευτεροῦντες αὐτά. Δόξα...Καὶ νῦν, τὸ ἰδιόμελον· *Γέννημα ἐχιδνῶν*...Ψαλλομένου δὲ τοῦ κεκραγαρίου ἐξέρχεται ὁ διάκονος καὶ θυμιᾷ ὡς ἔθος· εἶτα ἐπιστρέψαντος αὐτοῦ καὶ ψαλλομένων τῶν ἑσπερίων, ποιεῖ ὁ ἱερεὺς τὴν προσκομιδήν. Μετὰ δὲ τὸ δοξαστικόν, γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὸ· *Φῶς ἱλαρόν*...καὶ εὐθὺς τὰ γ´ ἀναγνώσματα τῆς ἡμέρας μετὰ τῶν προκειμένων αὐτῶν· *Εἶπε Κύριος πρὸς Μωϋσῆν*...(Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ. ΙΘ´ 10-19), *Εἶπε Κύριος τῷ Ἰώβ*...(Ἰὼβ τὸ Ἀνάγνωσμα. Κεφ. ΛΗ´ 1-21, Κεφ. ΜΒ´ 1-5), *Κύριος δίδωσί μοι γλῶσσαν παιδείας*...(Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. Κεφ. Ν´ 4-11). Μετὰ τὸ τρίτον ἀνάγνωσμα γίνεται μικρὰ συναπτὴ καὶ ἡ ἐκφώνησις· *Τοῦ Κυρίου δεηθῶμεν...Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν*...Καὶ ψάλλομεν τὸν τρισάγιον ὕμνον. Εἶτα τὸ προκείμενον τοῦ ἀποστόλου, ὁ Ἀπόστολος· *Ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου*...(Κορ. ια´ 23-32), τὸ ἀλληλουϊάριον μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ Εὐαγγέλιον· *Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται*...(Ματθ. κς' 2-20, Ἰωάν. ιγ´ 3-17, Ματθ. κς' 21-39, Λουκ. κβ´ 43-44, Ματθ. κς' 40-75, Ματθ. κζ´ 1-55).

Καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου. Ἀντὶ δὲ χερουβικοῦ ψάλλομεν τὸ τροπάριον· *Τοῦ δείπνου σου τοῦ μυστικοῦ*...ἡ δὲ μεγάλη εἴσοδος γίνεται ὅταν φθάσῃ ὁ ψάλτης εἰς τό: *Ὁμολογῶ σοί·* καὶ μετὰ τὴν εἴσοδον, ἀποπληροὶ τὸ ἐπίλοιπον. Κοινωνικὸν· *Τοῦ δείπνου σου τοῦ μυστικοῦ*...Μετὰ δὲ τὸ· *Μετὰ φόβου Θεοῦ*...λέγομεν πολλάκις τό· *Τοῦ δείπνου σου τοῦ μυστικοῦ*..., μέχρις ἂν οἱ ἀδελφοὶ μετάσχωσι τῶν ἁγίων καὶ ἀχράντων μυστηρίων. Καὶ μετὰ τοῦ· *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*...ψάλλομεν ἀντὶ τοῦ· *Εἴδομεν τὸ Φῶς*...πάλιν τό· *Τοῦ δείπνου σου τοῦ μυστικοῦ*...ἅπαξ, συντόμως. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*...ἐκ γ´. Δόξα καὶ νῦν, καὶ οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον...Ὑψώσω σὲ ὁ Θεός μου*...Εἶτα· *Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογία Κυρίου καὶ ἔλεος*...καὶ ἡ ἀπόλυσις μετὰ τοῦ προγραφέντος ἐν τῷ ὄρθρῳ χαρακτηριστικοῦ. Δίδοται δὲ καὶ τὸ κατακλαστόν. Εἰς τὴν τράπεζαν ἐσθίομεν οἴνου καὶ ἐλαίου.

## Εἰς τὸ ἀποδειπνον

Περὶ ὥραν ια΄ τῆς ἡμέρας, ἀναγινώσκομεν ἐν τῷ νάρθηκι χῦμα τὸ μικρὸν ἀποδεῖπνον, ἄνευ κανόνος καὶ τῶν οἴκων τῆς Θεοτόκου. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον· *Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα...*καὶ τὰ λοιπὰ τοῦ ἀποδείπνου. Μετὰ δὲ τό· *Τὴν πᾶσαν ἐλπίδαν μου...*, ἀπόλυσις μετὰ τοῦ· *Εὐξώμεθα...*

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ τὰ Ἅγια καὶ σωτήρια καὶ φρικτὰ Πάθη τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν· τοὺς ἐμπτυσμούς, τὰ ῥαπίσματα, τὰ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαῖναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων, τὸν σταυρόν, καὶ τὸν θάνατον, ἃ δι' ἡμᾶς ἕκων κατεδέξατο· ἔτι δὲ καὶ τήν τοῦ εὐγνώμονος λῃστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ Σταυρῷ ὁμολογίαν.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Α. Ἀκολουθία τῶν ἁγίων καὶ ἀχράντων Παθῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

#### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν β' τῆς νυκτὸς σημαίνει. Συναχθέντων δὲ ἡμῶν ἐν τῷ ναῷ, ποιεῖ ὁ ἱερεὺς τὴν ἐξ ἔθους μετάνοιαν καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἐνδύεται πετραχήλιον καὶ λαβῶν θυμιατὸν καὶ ἀνοίξας τὴν ἁγίαν πύλην ἵσταται πρὸ τῆς ἁγίας τραπέζης καὶ λέγει· *Εὐλογητὸς ὁ Θεός*...καὶ εὐθὺς ἄρχεται θυμιῶν τὸν ναὸν ἅπαντα. Ὁ δὲ ἀναγνώστης μετὰ τόν *Εὐλογητόν,* λέγει τὸ τρισάγιον. Ὁ δὲ ἱερεὺς τό· *Ὅτι σοῦ ἐστιν*...ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ', τό· *Δεῦτε προσκυνήσωμεν*...γ' καὶ ἀναγινώσκει βραδέως τοὺς ψαλμούς· *Ἐπακούσαι σου Κὺριος*...*Κύριε ἐν τῇ δυνάμει σου*...εἶτα· *Δόξα, καὶ νῦν*...καὶ εὐθὺς τὸ τρισάγιον. Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*...καὶ ὁ ἀναγνώστης ἀνὰγινώσκει τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*...Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως*...Καὶ νῦν· *Προστασία φοβερά*...Ὁ δὲ ἱερεύς, θυμιάσας ἤδη καὶ ἐπιστρέψας, λέγει πρὸ τῆς ἁγίας τραπέζης τὴν ἐκτενῆ. Καὶ εὐθὺς ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἑξάψαλμον. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν. Εἶτα ψὰλλομεν μετὰ τῶν συνήθων στίχων, τὸ μέγα ἀργὸν *Ἀλληλουϊάριον* δίς, καὶ τὸ μικρὸν δίς· εἶθ' οὕτως τὸ τρο-

πάριον· *Ὅτε οἱ ἔνδοξοι μαθηταί*...ἐκ τρὶτοῦ, δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως. Ψαλλομένου δὲ τούτου ὁ ἐκκλησιάρχης διανέμει κηρία τοῖς ἀδελφοῖς. Καὶ μετὰ τοῦτο, εὐθὺς λέγει ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ κατάξιωθῆναι*...καὶ ἀναγινώσκει τὸ Α΄ εὐαγγέλιον τῶν ἁγίων Παθῶν, ἤτοι τὸ τῆς Διαθήκης. Πληρουμένου δὲ ἑκάστου εὐαγγελίου, λέγομεν τὸ· *Δόξα τῇ μακροθυμίᾳ σου Κύριε, δόξα σοι.*

Εἶτα ψάλλομεν τὰ ἀντίφωνα· *Ἄρχοντες λαῶν συνήχθησαν*...δευτεροῦντες ἅπαντα τὰ τροπάρια, πρὸ δὲ τοῦ θεοτοκίου ἑκάστου ἀντιφώνου λέγομεν τὸ· *Δόξα*...καὶ εἶτα· *Καὶ νῦν*...πάλιν *τὸ αὐτό*. Ἄρχεται δὲ τοῦ μὲν α΄, γ΄, ε΄, ζ΄, θ΄, ια΄, ιγ΄ καὶ ιε΄ ἀντιφώνου, ὁ δεξιὸς χορός, ὁ δὲ ἀριστερὸς ἄρχεται τοῦ β΄, δ΄, στ΄, η΄, ι΄, ιβ΄ καὶ ιδ΄ ἀντιφώνου. Μετὰ τὸ γ΄ ἀντίφωνον ψάλλει ὁ δεξιὸς χορὸς κάθισμα· *Ἐν τῷ δείπνῳ τοὺς μαθητάς*... ἅπαξ. Ἐν τῷ καθίσματι δὲ τούτῳ, ὡς καὶ ἐν τοῖς λοιποῖς, οὐ καθήμεθα, ἀλλ' ἱστάμενοι ψάλλομεν αὐτά. Μετὰ δὲ τὸ κάθισμα, εὐθὺς ὁ ἱερεὺς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι*...καὶ ἀναγινώσκει τὸ Β΄ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα ψάλλομεν τὸ δ΄, ε΄ καὶ στ΄ ἀντίφωνον μεθ' ὃ ὁ ἀριστερὸς χορὸς ἅπαξ τὸ κάθισμα· *Ποῖος σὲ τρόπος Ἰούδα*...καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Γ΄ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα ψάλλομεν τὸ ζ΄, η΄ καὶ θ΄ ἀντίφωνον μεθ' ὃ ὁ δεξιὸς χορὸς τὸ κάθισμα· *Ὢ πως Ἰούδας ὁ ποτέ σου μαθητής*... ἅπαξ. Καὶ ὁ ἱερεὺς τὸ Δ΄ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα ψάλλομεν τὸ ι΄, ια΄ καὶ ιβ΄ ἀντίφωνον, μεθ' ὃ τὸ κάθισμα· *Ὅτε παρέστης τῷ Καϊάφα ὁ Θεός*...ὑπὸ τοῦ ἀριστεροῦ χοροῦ ἅπαξ, ὁ δὲ ἱερεὺς ἀναγινώσκει τό Ε΄ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα ψάλλομεν τὸ ιγ΄ καὶ τὸ ιδ΄ ἀντίφωνον. Μετὰ δὲ τὸ θεοτοκίον τοῦ ἀντιφώνου· *Χαῖρε ἡ δι' ἀγγέλου*...ὁ πρωθιερεὺς ἐνδεδυμένος ἐπιτραχήλιον καὶ φελόνιον αἴρει τὸν ὄπισθεν τῆς ἁγίας τραπέζης κείμενον μέγαν ξύλινον Σταυρὸν μετὰ τοῦ Ἐσταυρωμένου, καὶ ποιήσας κύκλον περὶ τῆς ἁγίας Τραπέζης, ἀπαγγελῶν κατὰ τὸ ὕφος τοῦ εὐαγγελίου ἐν κατανύξει ἀργῶς τὸ πρῶτον ἰδιόμελον τοῦ ιε΄ ἀντιφώνου· *Σήμερον κρεμᾶται ἐπὶ ξύλου*...ἐξέρχεται διὰ τοῦ βορείου κλίτους προπορευομένων λαμπάδων καὶ τοῦ διακόνου μετὰ τοῦ θυμιατοῦ, καὶ φθάνει εἰς τὸ μέσον τοῦ ναοῦ, ἔνθα πηγνύει τὸν Σταυρὸν ἐπὶ τοῦ προηυτρεπισμένου βάθρου. Εἶτα ψάλλουσιν οἱ χοροὶ ἐναλλὰξ κατὰ στίχον τὸ αὐτὸ

ἰδιόμελον· *Σήμερον κρεμᾶται ἐπὶ ξύλου*...ἀρχομένου τοῦ δεξιοῦ χοροῦ σημειωτέον δὲ ὅτι ὁ μὲν πρῶτος στίχος· *Σήμερον κρεμᾶται ἐπὶ ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας*...τρισσεύεται, οἱ δὲ λοιποὶ ἅπαξ λέγονται εἶτα πάλιν τὸ· *Προσκυνοῦμεν σου τὰ πάθη Χριστέ*...λέγεται ἐκ τρίτου, μεθ' ὃ ὁ ἀριστερὸς χορὸς· *Δεῖξον ἡμῖν, καὶ τὴν ἔνδοξον σοῦ ἀνάστασιν*... ἅπαξ. Εἶτα ψάλλομεν τὰ ἐπίλοιπα δύο τροπάρια τοῦ ἀντιφώνου, ἕκαστον δίς. Δόξα· *τὸ θεοτοκίον αὐτοῦ*...Καὶ νῦν· *πάλιν τὸ αὐτό*. Καὶ ὁ δεξιὸς χορὸς τὸ κάθισμα· *Ἐξηγόρασας ἡμᾶς*...ἅπαξ. Ὁ δὲ ἱερεὺς ἀναγινώσκει τὸ ΣΤ′ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα ἀρχομένου τοῦ δεξιοῦ χοροῦ, ψάλλομεν τοὺς μακαρισμούς. Συμπληρωθέντων δὲ τῶν μακαρισμῶν, ψάλλει ὁ δεξιὸς χορὸς εἰς ἦχον δ′ τὸ προκείμενον· *Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς*...καὶ ὁ ἀριστερὸς χορὸς τὸ αὐτὸ ἄνευ στίχου εἶτα ὁ δεξιὸς χορὸς τὸν στίχον· *Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι*...καὶ ψάλλει πάλιν τὸ αὐτό. Καὶ εὐθὺς ὁ ἱερεὺς ἀναγινώσκει τὸ Ζ′ εὐαγγέλιον τῶν Παθῶν. Μετ' αὐτὸ δὲ τίθεται ἀνάγνωσις. Εἶτα ὁ ν′ ψαλμὸς χῦμα, καὶ εὐθὺς τὸ Η′ εὐαγγέλιον τῶν Παθῶν.

Μετ' αὐτὸ δ' εὐθὺς ψάλλομεν τὸ τριῴδιον· *Πρὸς σὲ ὀρθρίζω*...εἰς ιδ′, ἤτοι τοὺς εἱρμοὺς ἀνὰ δύο, ἄνευ στίχου, καὶ ἕκαστον τροπάριον τετράκις ἢ ἑξάκις, κατὰ τὴν ποσότητα αὐτῶν, λέγοντες εἰς ἕκαστον τροπάριον τὸν στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα τροπάρια τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...μεθ' ἕκαστην δὲ ᾠδήν, ὕστερον, πάλιν ὁ εἱρμὸς αὐτῆς ἅπαξ ὡς καταβασία. Μετὰ τὴν ϛ' ᾠδήν, αἴτησις καὶ ἐκφώνησις· *Σῦ γὰρ εἶ ὁ βασιλεύς*...τὸ κοντάκιον· *Τὸν δι' ἡμᾶς σταυρωθέντα*...καὶ ὁ οἶκος· *Τὸν ἴδιον ἄρνα*...Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Καὶ εἶτα ἡ η′ ᾠδὴ τοῦ τριῳδίου, ἐν ᾗ ἀντὶ τοῦ· *Δόξα*...λέγομεν τὸ· *Εὐλογοῦμεν Πατέρα, Υἱόν*...πρὸ δὲ τῆς καταβασίας τὸ· *Αἰνοῦμεν, εὐλογοῦμεν*...Καὶ μετὰ τὴν καταβασίαν τῆς η′ ᾠδῆς, λέγει ὁ διάκονος· *Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός*...καὶ ψάλλομεν εὐθὺς τὴν θ′ ᾠδὴν τοῦ Τριῳδίου, ἐν ᾗ ὁ διάκονος θυμιᾷ ὡς ἔθος τὸν ναόν. Μετὰ δὲ τὴν καταβασίαν τῆς θ′ ᾠδῆς ἡ συνήθης αἴτησις.

Εἶτα τὸ Ἐξαποστειλάριον· *Τὸν λῃστὴν αὐθημερόν...*ἐκ τρίτου. Καὶ εὐθὺς ὁ ἱερεὺς ἀναγινώσκει τὸ Θ΄ εὐαγγέλιον τῶν Παθῶν. Μετ' αὐτὸ δὲ εὐθὺς ψάλλομεν τοὺς αἴνους, ἐν οἷς ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ γ΄ ἰδιόμελα· *Δύο καὶ πονηρὰ ἐποίησε...Ἕκαστον μέλος...Σταυρωθέντος σου Κύριε...*δευτεροῦντες τὸ α΄. Δόξα· *Ἐξέδυσάν με τὰ ἱμάτιά μου...*Καὶ νῦν· *Τὸν νῶτόν μου ἔδωκα...*Καὶ εὐθὺς τὸ Ι΄ εὐαγγέλιον τῶν Παθῶν. Εἶτα, χῦμα τό· *Σοὶ δόξα πρέπει...*ὁ διάκονος τὸ· *Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ...*καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν· *Ὅτι Θεὸς ἐλέους...*ὁ αὐτὸς· *Εἰρήνη πᾶσι·* ὁ διάκονος· *Τὰς κεφαλὰς ἡμῶν...*καὶ ὁ ἱερεὺς τὴν εὐχὴν μυστικῶς καὶ τὴν ἐκφώνησιν· *Σὸν γάρ ἐστι τὸ ἐλεεῖν...*Καὶ εὐθὺς ὁ ἱερεὺς ἀναγινώσκει τὸ ΙΑ΄ εὐαγγέλιον τῶν Παθῶν. Μετὰ τοῦτο εὐθὺς ψάλλομεν ἀποστιχα ἰδιόμελα· *Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο...Λαὸς δυσσεβὴς καὶ παράνομος...Σήμερον σὲ θεωροῦσα...Ἐπὶ ξύλου βλέπουσα...*μετὰ τῶν στίχων αὐτῶν. Δόξα· *Κύριε ἀναβαίνοντος σου ἐν τῷ Σταυρῷ...*Καὶ νῦν· *Ἤδη βάπτεται κάλαμος...*Εὐθύς, μετὰ τὸ τέλος τοῦ ἰδιομέλου, ὁ ἱερεὺς ἀναγινώσκει τὸ ΙΒ΄ εὐαγγέλιον τῶν Παθῶν. Πληρουμένου δὲ τοῦ ἐσχάτου τούτου εὐαγγελίου λέγομεν τὸ σύνηθες· *Δόξα σοι Κύριε δόξα σοι.* Εἶτα, χῦμα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι...Τρισάγιον...Παναγία Τριάς...Πάτερ ἡμῶν...*ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν...* Καὶ ψάλλομεν τὸ ἀπολυτίκιον· *Ἐξηγόρασας ἡμᾶς...*ἐκ τρίτου. Εἶτα ὁ διάκονος τὴν ἐκτενῆ· *Ἐλέησον ἡμᾶς ὁ Θεός...*καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν· *Ὅτι ἐλεήμων...*Ὁ διάκονος· *Σοφία*, ὁ ἱερεὺς· *Ὁ ὢν εὐλογητός...*ὁ προεστὼς τὸ· *Στερεώσαι Κύριος ὁ Θεός...*ὁ ἱερεὺς· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.* Ὁ ἀναγνώστης· *Τὴν τιμιωτέραν...*ὁ ἱερεὺς· *Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι.* Ὁ ἀναγνώστης· *Δόξα...Καὶ νῦν...Κύριε ἐλέησον γ΄, Εὐλόγησον,* καὶ ὁ ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν οὕτω: *Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ Σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τήν τοῦ κόσμου σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...*Εἶτα τὸ· *Δι' εὐχῶν...*

Τὴν δὲ πρώτην ὥραν οὐκ ἐπισυνάπτομεν νῦν, ἀλλὰ περὶ ὥραν β΄ τῆς ἡμέρας.

## Β. Ἀκολουθία τῶν ὡρῶν τῆς ἁγίας καὶ Μεγάλης Παρασκευῆς

Περὶ ὥραν β΄ τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰ μεγάλας καὶ βασιλικὰς ὥρας τῆς Μεγάλης Παρασκευῆς οὕτω:

### Ὥρα πρώτη

Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν τό· *Βασιλεῦ οὐράνιε...Τρισάγιον... Παναγία τριάς...Πάτερ ἡμῶν...Ὅτι σοῦ ἐστιν...Κύριε ἐλέησον* ιβ΄. Δόξα, καὶ νῦν...*Δεῦτε προσκυνήσωμεν...γ΄* καὶ ἀναγινώσκομεν τοὺς τρεῖς ψαλμούς· *Τὰ ῥήματά μου ἐνώτισαι Κύριε...Ἵνα τι ἐφρύαξαν ἔθνη...Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι*...Εἶτα τό· *Δόξα, καὶ νῦν...Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός*, ἐκ γ΄, *Κύριε ἐλέησον* γ΄. Δόξα τὸ τροπάριον· *Σταυρωθέντος σου Χριστέ*...Καὶ νῦν· *Τι σὲ καλέσωμεν ὦ κεχαριτωμένη...* Εἶτα ἄρχεται ὁ δεξιὸς χορὸς ψάλλων τὸ ἰδιόμελον· *Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα*...δίς, ἄνευ στίχου. Εἶτα ὁ δεξιὸς χορὸς τὸ ἰδιόμελον· *Ὡς πρόβατον ἐπὶ σφαγήν*...μετὰ τοῦ στίχου αὐτοῦ, καὶ ὁ ἀριστερός· *πάλιν τὸ αὐτὸ*...μετὰ τοῦ στίχου αὐτοῦ. Δόξα...τὸ ἰδιόμελον· *Τοῖς συλλαβοῦσι σὲ παρανόμοις*...Καὶ νῦν· *πάλιν τὸ αὐτό.* Εἶτα ὁ ἀναγνώστης λέγει· *Προκείμενον, ἦχος δ΄,* καὶ ἀναγινώσκει τὸ προκείμενον ἅπαξ, καὶ τὸν στίχον αὐτοῦ· μεθ' ὃ λέγει· *Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα,* ὁ ἱερεὺς· *Σοφία πρόσχωμεν,* καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὴν προφητείαν τῆς α΄ ὥρας. Μετὰ δὲ τὴν συμπληρῶσιν αὐτῆς, εὐθὺς ἐπισυνάπτει τὸν ἀπόστολον, λέγων· *Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.* Ὁ ἱερεὺς· *Πρόσχωμεν,* καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἀπόστολον τῆς α΄ ὥρας. Μετ' αὐτὸν δὲ εὐθὺς ὁ ἱερεὺς· *Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου*...καὶ ἀναγινώσκει πρὸ τῶν ἁγίων θυρῶν τὸ εὐαγγέλιον τῆς α΄ ὥρας. Πληρουμένου δ' αὐτοῦ λέγομεν· *Δόξα σοι Κύριε δόξα σοι.* Εἶτα εὐθὺς ὁ ἀναγνώστης τό· *Τὰ διαβήματά μου κατεύθυνον*...τό· *Τρισάγιον...Παναγία Τριάς...Πάτερ ἡμῶν...Ὅτι σοῦ ἐστιν...* Τὸ κοντάκιον· *Τὸν δι' ἡμᾶς σταυρωθέντα*...Τό· *Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ...Κύριε ἐλέησον γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν...Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ.* Ὁ ἱερεὺς ἐκφωνεῖ· *Ὁ Θεὸς οἰκτειρῆσαι*

*ἡμᾶς*...καὶ ὁ προεστὼς τὴν εὐχήν· *Χριστὲ τὸ φῶς τὸ ἀληθινόν.* Μετ' αὐτὴν δ' εὐθὺς ἐπισυνάπτομεν τὴν γ´ ὥραν ὡς ἐφεξῆς.

## Ὥρα τρίτη

Ὁ ἀναγνώστης· *Τρισάγιον...Παναγία Τριάς...Πάτερ ἡμῶν...*Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν...*Ὁ ἀναγνώστης· *Κύριε ἐλέησον γ´...Δόξα, καὶ νῦν...Δεῦτε προσκυνήσωμεν...γ´* καὶ ἀναγινώσκει τοὺς δ´ ψαλμούς· *Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με...Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς... Ἐλέησόν με ὁ Θεός...Δόξα καὶ νῦν...,Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός, γ´. Κύριε ἐλέησον γ´.* Δόξα, τὸ τροπάριον· *Κύριε κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ...*Καὶ νῦν· *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...*Εἶτα ἀρχομένου τοῦ ἀριστεροῦ χοροῦ, ψάλλομεν τὸ ἰδιόμελον· *Δία τὸν φόβον τῶν Ἰουδαίων...*δίς, ἄνευ στίχου, τὸ ἰδιόμελον· *Πρὸ τοῦ τιμίου σοῦ Σταυροῦ...*μετὰ τοῦ στίχου αὐτοῦ, δίς. Δόξα· *Ἑλκόμενος ἐπὶ Σταυροῦ...* Καὶ νῦν· *τὸ αὐτό...*Εἶτα ὁ ἀναγνώστης, τὸ προκείμενον, τὴν προφητείαν καὶ τὸν ἀπόστολον τῆς γ´ ὥρας καὶ ὁ ἱερεὺς τὸ εὐαγγέλιον αὐτῆς, κατὰ τὴν τῆς α´ ὥρας προαγραφεῖσαν τάξιν. Εὐθύς· *Κύριος ὁ Θεὸς εὐλογητός...Τρισάγιον...Παναγία Τριάς...Πάτερ ἡμῶν...*Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν...*Τὸ κοντάκιον· *Τὸν δι' ἡμᾶς σταυρωθέντα...*Τό· *Κύριε ἐλέησον μ´. Ὁ ἐν παντὶ καιρῷ...Κύριε ἐλέησον γ´. Δόξα, καὶ νῦν...Τὴν τιμιωτέραν... Ἐν ὀνόματι Κυρίου...*Ὁ ἱερεύς· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς...*καὶ ὁ προεστὼς τὴν εὐχήν· *Δεσπότα Θεέ, Πάτερ παντοκράτωρ...*Μεθ' ἣν ἐπισυνάπτομεν εὐθὺς τὴν ἕκτην ὥραν, ὡς ἐφεξῆς (σημειωτέον δὲ ὅτι ψαλλομένων τῶν ἰδιομέλων τῆς γ´ ὥρας θυμιᾷ ὁ ἱερεὺς τὸν ναὸν ὡς ἔθος· τοῦτο δὲ ποιεῖ καὶ εἰς τὴν ἕκτην καὶ εἰς τὴν ἐνάτην ὥραν).

## Ὥρα ἕκτη

Ὁ ἀναγνώστης· *Δεῦτε προσκυνήσωμεν...γ´* καὶ τοὺς τρεῖς ψαλμούς· *Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με...Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ...Ὁ κατοίκων ἐν βοηθείᾳ τοῦ Ὑψίστου...Δόξα, καὶ νῦν... Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός, γ´. Κύριε ἐλέησον γ´.* Δόξα, τὸ τροπάριον· *Σωτηρίαν εἰργάσω...*Καὶ νῦν· *Ὅτι οὐκ ἔχομεν παρ-*

*ῥησίαν*...Εἶτα ἀρχομένου τοῦ δεξιοῦ χοροῦ, ψάλλομεν τὸ ἰδιόμελον· *Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις*...δίς, ἄνευ στίχου, τὸ ἰδιόμελον· *Οἱ νομοθέται τοῦ Ἰσραήλ*...δίς, μετὰ τοῦ στίχου αὐτοῦ, Δόξα· *Δεῦτε χριστοφόροι λαοί*...Καὶ νῦν· *τὸ αὐτό*...Εἶτα τὸ προκείμενον, ἡ προφητεία, ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον τῆς ἕκτης ὥρας, κατὰ τὴν τῆς α΄ ὥρας προγραφεῖσαν τάξιν. Καὶ εὐθὺς τό· *Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς*...*Τρισάγιον*... *Παναγία Τριάς*...*Πάτερ ἡμῶν*...Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν*...Τὸ κοντάκιον· *Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα*...Τό· *Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ*... *Κύριε ἐλέησον* γ΄. *Δόξα, καὶ νῦν*...*Τὴν τιμιωτέραν*...*Ἐν ὀνόματι Κυρίου*... Ὁ ἱερεὺς· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς*...καὶ ὁ προεστὼς τὴν εὐχήν· *Θεὲ καὶ Κύριε τῶν δυνάμεων*...Ἐπισυνάπτομεν δ᾽ εὐθὺς καὶ τὴν θ΄ ὥραν, ὡς ἀκολούθως.

## Ὥρα ἐνάτη

Ὁ ἀναγνώστης· τὸ *τρισάγιον*...*Παναγία Τριάς*...*Πάτερ ἡμῶν*...Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν*...Ὁ ἀναγνώστης· *Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν*...γ΄ καὶ τοὺς τρεῖς ψαλμούς· *Σῶσόν με ὁ Θεὸς ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου*...*Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες*...*Κλῖνον Κύριε τὸ οὖς σου*...*Δόξα, καὶ νῦν*...*Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεὸς* γ΄. *Κύριε ἐλέησον* γ΄. Δόξα, τὸ τροπάριον· *Βλεπῶν ὁ λῃστής*...Καὶ νῦν, τὸ θεοτοκίον· *Ὁ δι᾽ ἡμᾶς γεννηθείς*...Εἶτα ἄρχεται ὁ ἀριστερὸς χορὸς ψάλλων τὸ ἰδιόμελον· *Θάμβος ἦν κατιδεῖν*...δίς, ἄνευ στίχου, τὸ ἰδιόμελον· *Ὅτε σὲ Σταυρῷ προσήλωσαν*...δίς, μετὰ τῶν στίχων αὐτοῦ. Τὸ δὲ τέλος τοῦ ἰδιομέλου: *σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι*, λαμβάνει ὁ ἀριστερὸς χορός. Εἶτα ὁ δεξιὸς χορὸς ψάλλει εἰς ἦχον πλ.β΄ τό· *Δόξα*...καὶ ὁ ἀριστερὸς χορὸς τό· *Καὶ νῦν*...Καὶ εὐθὺς ὁ ἀναγνώστης ἐρχόμενος ἐν τῷ μέσῳ τοῦ ναοῦ πρὸ τοῦ Ἐσταυρωμένου ἀναναγινώσκει εὐλαβῶς καὶ μεγαλόφωνος, κατὰ τὸ ὕφος τοῦ ἀποστόλου, τὸ ἰδιόμελον· *Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας*, ὅπερ ἐπαναλαμβάνει τρις· εἶτα ἐξακολουθεῖ λέγων· *Στέφανον ἐξ ἀκανθῶν*...καὶ καθεξῆς, τὸ δὲ· *Προσκυνοῦμεν σου τὰ πάθη Χριστὲ λέγει* ἐκ γ΄, καὶ εἶτα τό· *Δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξον σοῦ ἀνάστασιν*. Καὶ εὐθὺς οἱ χοροί, ἀρ-

χομένου τοῦ δεξιοῦ, ψάλλουσιν ἐναλλὰξ κατὰ στίχον τὸ αὐτὸ ἰδιόμελον, ἀργώς, ἐπαναλαμβάνοντες τὸν στίχον· *Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας*, ἐκ γ΄, καὶ τὸ· *Προσκυνοῦμεν σου τὰ Πάθη Χριστέ*, ἐκ γ΄, τοὺς δὲ ἑτέρους στίχους ἅπαξ ἕκαστον. Εἶτα ὁ ἀναγνώστης τὸ προκείμενον, τὴν προφητείαν καὶ τὸν ἀπόστολον τῆς θ΄ ὥρας, ὁ δὲ ἱερεὺς τὸ εὐαγγέλιον αὐτῆς, κατὰ τὴν τῆς α΄ ὥρας προγραφεῖσαν τάξιν. Καὶ εὐθὺς τὸ· *Μὴ δὴ παραδώῃς ἡμᾶς...Τρισάγιον...Παναγία Τριάς... Πάτερ ἡμῶν...*Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν...*τὸ κοντάκιον· *Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα...Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ...Κύριε ἐλέησον* γ΄. *Δόξα, καὶ νῦν...Τὴν τιμιωτέραν...Ἐν ὀνόματι Κυρίου...*Ὁ ἱερεύς· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς...*καὶ ὁ προεστὼς τὴν εὐχήν· *Δεσπότα Κύριε Ἰησοῦ ὁ μακροθυμήσας...*Καὶ μετ᾽ αὐτὴν εὐθὺς λέγομεν χῦμα τοὺς μακαρισμοὺς κατὰ τὴν τάξιν αὐτῶν. Εἶτα· *Χορὸς ὁ ἐπουράνιος...*Στίχος: *Προσέλθετε πρὸς αὐτόν...*καὶ πάλιν *τὸ αὐτό...*Δόξα· *Χορὸς ἁγίων ἀγγέλων...*Καὶ νῦν· *Πιστεύω εἰς ἕναν Θεόν...Ἄνες, ἄφες, συγχώρησον...Πάτερ ἡμῶν...*Ὁ ἱερεύς· *Ὅτι σοῦ ἐστιν...*τὸ κοντάκιον· *Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα...*Εἶτα· *Κύριε ἐλέησον* ιβ΄. *Εἴη τὸ ὄνομα Κυρίου...*ἐκ γ΄ χῦμα. Δόξα, καὶ νῦν...καὶ τὸν ψαλμόν· *Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ...*Καὶ γίνεται ἀπόλυσις μεγάλη ὑπὸ τοῦ ἱερέως μετὰ τοῦ χαρακτηριστικοῦ· *Ὁ δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ πάθη, καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...*Εἶτα τὸ· *Δι᾽ εὐχῶν...*

## Γ. Ἀκολουθία τοῦ Ἑσπερινοῦ τῆς ἁγίας καὶ Μεγάλης Παρασκευῆς

### Ἐν τῷ Ἑσπερινῷ

Περὶ ι΄ ὥραν τῆς ἡμέρας σημαίνει. Εὐλογήσαντος δὲ τοῦ ἱερέως, λέγει ὁ προεστὼς τὸ· *Δεῦτε προσκυνήσωμεν...*γ΄ καὶ ἀναγινώσκει τὸν προοιμιακόν· μεθ᾽ ὃν συναπτὴ μεγάλη ὑπὸ τοῦ διακόνου. Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν τὸ· *Κύριε ἐκέκραξα...*ἐν ᾧ ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τὰ πέντε ἰδιόμελα· *Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ...Λαὸς δυσσεβὴς καὶ παράνομος...Σήμερον σὲ θεωροῦσα...Ἐπὶ ξύλου βλέπουσα...*

*Σήμερον ὁ Δεσπότης τῆς κτίσεως...*δευτεροῦντες τὸ α΄. Δόξα· *Ὢ πῶς ἡ παράνομος συναγωγή...*Καὶ νῦν· *Φοβερὸν καὶ παράδοξον μυστήριον...* Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ· *Φῶς ἱλαρόν...*καὶ ψάλλομεν τὸ προκείμενον· *Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον,* εἰς ἦχον δ΄ ἐκ τρίτου, δὶς μὲν ἄνευ στίχου, πρὸ δὲ τοῦ τρίτου καὶ ὁ στίχος: *Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι ἵνα τι ἐγκατέλιπές με;* Εἶτα ὁ ἀναγνώστης λέγει· *Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα...*καὶ ἀναγινώσκει τὸ πρῶτον ἀνάγνωσμα· συμπληρωθέντος δ' αὐτοῦ λέγει· *Προκείμενον, ἦχος δ,΄* καὶ ἀναγινώσκει τὸ δεύτερον προκείμενον ἅπαξ, καὶ τὸν στίχον αὐτοῦ· μεθ' ὃν ἐπισυνάπτει τὸ δεύτερον ἀνάγνωσμα, καὶ μετ' αὐτὸ τὸ τρίτον. Συμπληρωθέντος δὲ καὶ τοῦ τρίτου ἀναγνώσματος, ἐκφωνεῖ ὁ ἀναγνώστης· *Προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ.β΄. Ψαλμὸς τῷ Δαυίδ.* Ὁ διάκονος· *Πρόσχωμεν,* καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τὸν στίχον αὐτοῦ ὁ διάκονος· *Σοφία,* ὁ ἀναγνώστης· *Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς...*ὁ διάκονος· *Πρόσχωμεν,* καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὸν ἀπόστολον τοῦ ἑσπερινοῦ μεθ' ὃν ὁ ἱερεὺς· *Εἰρήνη πᾶσι,* καὶ ψάλλομεν τὸ· *Ἀλληλούϊα,* τοῦ ἀναγνώστου λέγοντος τοὺς στίχους τοῦ ἀλληλουϊαρίου. Εἶτα ὁ ἱερεὺς· *Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι,* καὶ ὁ διάκονος ἐκ τοῦ ἄμβωνος· *Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα.* Ὁ ἱερεὺς· *Πρόσχωμεν,* καὶ ὁ διάκονος ἀναγινώσκει τὸ εὐαγγέλιον τοῦ ἑσπερινοῦ ἐπὶ τοῦ ἄμβωνος. Ὅταν δὲ φθάσῃ εἰς τὸ· *Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας,* ἐξέρχεται τοῦ ἱεροῦ διὰ τῆς βορείου θύρας ὁ ἱερεὺς κρατῶν σινδόνην λευκὴν καὶ ἔρχεται ὄπισθεν τοῦ Ἐσταυρωμένου. Ὅταν δὲ εἴπῃ ὁ διάκονος· *Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσήφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ...*λαμβάνει καὶ ὁ ἱερεὺς τὸν Ἐσταυρωμένον ἐκ τοῦ Σταυροῦ, καὶ περιτυλίξας αὐτὸν τῇ σινδόνι εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ ἐναποτίθησιν αὐτὸν ὄπισθεν τῆς ἁγίας Τραπέζης. Πληρωθέντος δὲ τοῦ εὐαγγελίου, ὁ χορὸς ψάλλει τὸ· *Δόξα σοι Κύριε δόξα σοι.* Καὶ ὁ διάκονος τὸ· *Πληρώσωμεν τὴν ἑσπερινή...*καὶ μετὰ τὴν ἐκφώνησιν· *Εἴη τὸ κράτος τῆς βασιλείας σου...*ψάλλομεν τὰ απόστιχα προσόμοια· *Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρῶν...Ὅτε ἐν τῷ τάφῳ τῷ*

*καινῷ...Ὅτε ἐν τῷ τάφῳ σαρκικῶς...Ὅτε αἱ δυνάμεις σὲ Χριστέ...*μετὰ τῶν στίχων αὐτῶν. Δόξα...Καὶ νῦν...τὸ ἰδιόμελον· *Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς...*Ψάλλομεν δὲ τὰ ἀποστιχα ταῦτα οὕτω: Μετὰ τὸ· *Εἴη τὸ κράτος...*ἀμφότεροι οἱ χοροὶ ἔρχονται πρὸς τὴν βορείαν πύλην τοῦ ἁγίου βήματος καὶ ἄρχονται ψάλλοντες τὰ ἀποστιχα, οἱ δὲ ἱερεῖς ἀσκεπεῖς ἐνδεδυμένοι τὰ φελόνια καὶ αἴροντες μετ' εὐλαβείας ἐπὶ κεφαλῆς τὸν Ἐπιτάφιον, ἐξ ὧν ὁ πρωθιερεὺς φέρει ἐν τῇ δεξιᾷ καὶ τὸ ἅγιον Εὐαγγέλιον, ἐξέρχονται τοῦ ἱεροῦ βήματος διὰ τῆς βορείου θύρας, προπορευομένων λαμπάδων, τῶν ἑξαπτερύγων, τῶν ψαλτῶν ψαλλόντων τὰ ἀποστιχα καὶ τοῦ διακόνου θυμιῶντος, καὶ ἔρχονται εἰς τὸ μέσον τοῦ ναοῦ, ὅπου ἵσταται εὐτρεπισμένον τὸ κουβούκλιον, καὶ μετὰ τῆς αὐτῆς παρατάξεως ποιοῦσι τρεῖς κύκλους περὶ τὸ κουβούκλιον εἶτα τιθέασιν ἐντὸς αὐτοῦ τὸν Ἐπιτάφιον καὶ τὸ ἅγιον Εὐαγγέλιον. Καὶ οἱ μὲν χοροὶ ἀπέρχονται εἰς τὰς θέσεις αὐτῶν, ὁ δὲ πρωθιερεὺς ῥαίνει δι' εὐόσμων ἀνθέων τὸν Ἐπιτάφιον. Ἀκολούθως ἀσπάζεται αὐτός τε καὶ οἱ λοιποὶ ἱερεῖς τὸ ἅγιον Εὐαγγέλιον καὶ τὸν Ἐπιτάφιον καὶ εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα· εἶτα δὲ προσέρχονται οἱ ἀδελφοὶ πάντες καὶ ἀσπάζονται ὁμοίως. Οἱ δὲ χοροὶ ἐξακολουθοῦσι τὰ ἀποστιχα γινομένου τοῦ ἀσπασμοῦ καὶ μετὰ τὴν συμπληρῶσιν αὐτῶν, ψάλλει τὸ δοξαστικὸν τῶν ἀποστίχων ὁ ἀριστερὸς χορὸς ἀργῶς καὶ μετὰ μέλους. Μετ' αὐτοῦ δέ, ὁ προεστὼς τό· *Νυν ἀπολύεις...*ὁ ἀναγνώστης· *Τρισάγιον...Παναγία Τριάς...Πάτερ ἡμῶν...*Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν...*καὶ ψάλλομεν τὰ ἀπολυτίκια· *Ὁ εὐσχήμων Ἰωσήφ...*Δόξα...Καὶ νῦν· *Ταῖς μυροφόροις γυναιξῖ...*Ὁ διάκονος· *Σοφία,* ὁ ἱερεὺς· *Ὁ ὢν εὐλογητός...*ὁ προεστὼς τὸ· *Στερεῶσαι Κύριος ὁ Θεός...*ὁ ἱερεὺς· *Ὑπεραγία Θεοτόκε...*ὁ ἀναγνώστης· *Τὴν τιμιωτέραν...*καὶ ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν μετὰ τοῦ ἐν ταῖς ὥραις τὸ πρωῒ προγραφέντος χαρακτηριστικοῦ.

## Εἰς τὸ ἀπόδειπνον

Μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοὺ ἀναγινώσκομεν τὸ μικρὸν ἀπόδειπνον ἄνευ κανόνος καὶ οἴκων τῆς Θεοτόκου, εἰς τὸν νάρθηκα. Εἰς δὲ

τὸ τρισάγιον αὐτοῦ, τὸ κοντάκιον· *Τὴν ἄβυσσον ὁ κλείσας...*Ἡ ἀπόλυσις μετὰ τοῦ προγραφέντος χαρακτηριστικοῦ.

## Τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ

Τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ, τὴν θεοσωμον Ταφήν, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν εἰς Ἄδου Κάθοδον ἑορτάζομεν, δι᾽ ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθέν, πρὸς αἰωνίαν ζωὴν μεταβέβηκε.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ὄρθρῳ

Περὶ ὥραν ἑβδόμην τῆς νυκτὸς σημαίνει, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ. Βαλῶν δὲ ὁ ἱερεὺς τὴν ἓξ ἔθους μετάνοιαν εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ βαλῶν ἐπιτραχήλιον ἀνοίξας καὶ τὴν ἁγίαν πύλην ἵσταται πρὸ τῆς ἁγίας τραπέζης καὶ ποιεῖ εὐλογητόν. Ὁ ἀναγνώστης· *Τριάγιον... Παναγία Τριάς...Πάτερ ἡμῶν...*Ὁ ἱερεὺς· *Ὅτι σοῦ ἐστιν...*.καὶ ὁ ἀναγνώστης τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου...*Δόξα· *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως...*Καὶ νῦν· *Προστασία φοβερά...*Ὁ ἱερεὺς τὴν ἐκτενῆ ὡς ἔθος, καὶ μετὰ τὸ· *Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ...*ἀναγινώσκει ὁ προεστὼς τὸν ἑξάψαλμον. Μεθ᾽ ὃν συναπτὴ μεγάλη ὑπὸ τοῦ ἱερέως. Καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλομεν τὸ· *Θεὸς Κύριος...*μετὰ τῶν στίχων αὐτοῦ, καὶ εἶτα τὰ τροπάρια· *Ὁ εὐσχήμων Ἰωσήφ...*Δόξα· *Ὅτε κατῆλθες πρὸς τὸν θάνατον...*Καὶ νῦν· *Ταῖς μυροφόροις γυναιξὶ...*Ψαλλομένου δὲ τοῦ· *Θεὸς Κύριος...*ἐξέρχεται ὁ ἱερεὺς μετὰ τοῦ διακόνου καὶ βαλόντες μετάνοιαν τῷ προεστῶτι, εἰσέρχονται καὶ ἀλλάσσουσι πᾶσαν τὴν ἱερατικὴν στολὴν αὐτῶν ἕκαστος, καὶ εἶτα ἐξέρχονται κρατοῦντες λαμπάδας καὶ ἵστανται πρὸ τοῦ ἐπιταφίου· ὡσαύτως δὲ καὶ οἱ ἀδελφοὶ πάντες κρατοῦσιν ἀνὰ μίαν λαμπάδαν ἀνημμένην. Μετὰ δὲ τὸ· *Ταῖς μυροφόροις γυναιξὶ...*ἀρχόμεθα εὐθὺς ψάλλειν τὰ ἐγκώμια· *Ἡ ζωὴ ἐν τάφῳ...* μετὰ μέλους, ὅμου μετὰ τοῦ ἀμώμου, εἰς στάσεις τρεῖς, λέγοντες ἀνὰ ἕνα στίχον τοῦ ἀμώμου καὶ ἀνὰ ἓν ἐγκώμιον αὐτοῦ ψάλλουσι δὲ τὰ ἐγκώμια ἐκ περιτροπῆς ὁ εἷς κατόπιν τοῦ ἄλλου, ὁ ἱερεύς, ὁ διάκονος, ἀνὰ εἷς ἕκαστος τοῦ δεξιοῦ χοροῦ καὶ ἀνὰ εἷς ἕκαστος τοῦ ἀριστεροῦ. Ἄρ-

χεται οὖν τῆς πρώτης στάσεως ὁ ἱερεὺς λέγων· *Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου*, καὶ ψάλλει τὸ πρῶτον ἐγκώμιον· *Ἡ ζωὴ ἐν τάφῳ*...Εἶτα ὁ διάκονος τὸν στίχον· *Μακάριοι οἱ ἐξερευνῶντες*...καὶ τὸ ἕτερον ἐγκώμιον· *Ἡ ζωή πως θνῄσκεις*...καὶ οὕτω καθεξῆς. Εἰς τὸ προτελευταῖον τροπάριον τῆς α΄ στάσεως λέγομεν τὸ· *Δόξα*...καὶ εἰς τὸ τελευταῖον τὸ· *Καὶ νῦν*...Εἶτα πάλιν τὸ πρῶτον τροπάριον· *Ἡ ζωὴ ἐν τάφῳ*... Μεθ' ὃ ὁ διάκονος πρὸ τοῦ ἐπιταφίου, ποιεῖ συναπτὴν μικράν, καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· *Ὅτι εὐλόγηται σου τὸ ὄνομα*...καὶ θυμιᾷ τὸν ἐπιτάφιον καὶ κύκλῳ τοὺς ἀδελφούς. Ὁ δὲ δεξιὸς χορὸς ἄρχεται τῆς δευτέρας στασεως ψάλλων τὸ· *Ἄξιόν ἐστιν μεγαλύνειν σὲ τὸν ζωοδότην*...ἄνευ στίχου· εἶτα τὰ λοιπὰ ἐγκώμια τῆς β΄ στάσεως μετὰ τῶν στίχων τοῦ ἀμώμου. Εἰς τὸ πρωτελευταῖον τὸ· *Δόξα*...καὶ εἰς τὸ τελευταῖον τὸ· *Καὶ νῦν*...Εἶτα πάλιν τὸ πρῶτον τροπάριον· *Ἄξιόν ἐστιν μεγαλύνειν σὲ ζωοδότην*...Μεθ' ὁ αὖθις ὁ διάκονος συναπτὴν μικράν, καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν· *Ὅτι ἅγιος εἶς ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης*, καὶ θυμιᾷ τὸν ἐπιτάφιον καὶ κύκλῳ τοὺς ἀδελφούς. Ὁ δὲ ἀριστερὸς χορὸς ἄρχεται τῆς τρίτης στασεως ψάλλων τὸ· *Αἱ γενεαὶ πᾶσαι*...ἄνευ στίχου εἶτα τὰ λοιπὰ τροπάρια μετὰ τῶν στίχων τοῦ ἀμώμου. Ὅταν φθάσωμεν εἰς τὸ τροπάριον· *Ἔῤῥαναν τὸν τάφον*...ψάλλει τοῦτο μετὰ τοῦ στίχου αὐτοῦ ὁ ἱερεὺς ῥαίνων ἅμα διὰ ῥοδοστάγματος τὸν ἐπιτάφιον ἐπαναλαμβάνει δὲ τὸ αὐτὸ τροπάριον καὶ ὁ δεξιὸς χορὸς ἄνευ στίχου, ὡσαύτως δὲ ψάλλει τοῦτο καὶ ὁ ἀριστερός. Εἶτα τὸ ἕτερον τροπάριον μετὰ τοῦ στίχου αὐτοῦ, Δόξα· *τὸ πρωτελευταῖον*...Καὶ νῦν· *τὸ τελευταῖον τροπάριον*...Καὶ εὐθύς, ἀρχομένου τοῦ δεξιοῦ χοροῦ, ψάλλομεν τὰ ἀναστάσιμα εὐλογητάρια· *Εὐλογητὸς εἶ Κύριε δίδαξόν με τὰ δικαιώματά σου. Τῶν ἀγγέλων ὁ δῆμος*...καὶ ἕτερα ὡς ἔθος. Ψαλλομένων τῶν εὐλογηταρίων εἰσέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος εἰς τὸ ἱερόν. Ἐν τέλει τῶν εὐλογηταρίων τὸ· *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός*, ἐκ γ΄. Καὶ ὁ διάκονος ποιεῖ συναπτὴν μικράν, ὁ δὲ ἱερεὺς ἐκφωνεῖ· *Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης*...Εἶτα ψάλλομεν τὸ κάθισμα· *Σινδόνι καθαρᾷ*...Δόξα· *τὸ τέλος αὐτοῦ*...Καὶ νῦν...τὸ ἕτερον· *Ἐξέστησαν χοροί*...Μετὰ ταύτα γίνεται ἀνά-

γνωσις εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον· *Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν Παρασκευήν...*

Εἶτα ὁ ν΄ ψαλμὸς χῦμα καὶ εὐθὺς ψάλλομεν τὸν κανόνα· *Κύματι θαλάσσης...*μετὰ τῶν εἱρμῶν εἰς ιδ΄ τροπάρια, ἤτοι τοὺς εἱρμοὺς ἀνὰ δύο, καὶ τὰ τροπάρια τετράκις ἕκαστον (ἐν τῇ ζ΄ ᾠδῇ, ἕκαστον τρις) καὶ μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα τροπάρια ἑκάστης ᾠδῆς, τὸ· *Δόξα...*καὶ τὸ· *Καὶ νῦν...*Καὶ αὖθις μεθ' ἑκάστην ᾠδὴν ἔσχατον ψάλλομεν τὸν εἱρμὸν αὐτῆς ὡς καταβασία. Ἀπὸ γ΄ ᾠδῆς, κάθισμα· *Τὸν τάφον σου Σωτήρ...*Δόξα, καὶ νῦν· *τὸ αὐτό...*Ἀφ' ἕκτης, τὸ κοντάκιον· *Τὴν ἄβυσσον ὁ κλείσας...*καὶ ὁ οἶκος· *Ὁ συνεχῶν τὰ πάντα...*Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. Ἐν τῇ η΄ ᾠδὴ ἀντὶ τοῦ· *Δόξα...*λέγομεν· *Εὐλογοῦμεν πατέρα Υἱόν...*καὶ εἰς τὸ τελευταῖον τροπάριον τὸ· *Καὶ νῦν...*Εἶτα· *Αἰνοῦμεν εὐλογοῦμεν...*καὶ ἡ κατάβασία· *Ἔκστηθι φρίττων οὐρανέ...*Μεθ' ἣν ὁ διάκονος· *Τήν Θεοτόκον καὶ μητέρα τοῦ φωτός...*Καὶ ψάλλεται ἡ θ΄ ᾠδή, ἡ καταβασία καὶ ἡ αἴτησις.

Εἶτα τὸ Ἐξαποστειλάριον· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν* ἐκ γ΄ καὶ οὐδὲν ἄλλο. Εὐθὺς οἱ αἶνοι, ἐν οἷς ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἰδιόμελα· *Σήμερον συνέχει τάφος...Τὶ τὸ ὁρώμενον θέαμα...Δεῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν...Ἠτήσατο Ἰωσήφ...*Δόξα· *Τὴν σήμερον μυστικῶς...* Καὶ νῦν· *Ὑπερευλογημένη ὑπάρχεις...*Δοξολογία Μεγάλη, μεθ' ἣν ψάλλουσιν οἱ χοροὶ τὸ ἀσματικὸν· *Ἅγιος ὁ Θεός...*ἀργῶς.

Ἐξέρχεται δὲ ὁ ἱερεὺς μετὰ τοῦ διακόνου ἐκ τοῦ ἱεροῦ, καὶ ὁ μὲν ἱερεὺς λαμβάνει τὸ ἅγιον εὐαγγέλιον ἐκ τοῦ κουβουκλίου, ὁ δὲ διάκονος κρατεῖ τὸ θυμιατόν. Προπορευομένων δὲ λαμπάδων καὶ ἑξαπτερύγων, εἶτα τοῦ Σταυροῦ, μετ' αὐτὸν τὸν ψαλτῶν ψαλλόντων τὸ ἀσματικόν, εἶτα τοῦ ἱερέως κρατοῦντος τὸ εὐαγγέλιον καὶ τοῦ διακόνου μετὰ τοῦ θυμιατοῦ καὶ ἑπομένου τοῦ κουβουκλίου μετὰ τοῦ ἐπιταφίου ἐξερχόμεθα τοῦ ναοῦ καὶ γίνεται ἡ περιφορὰ τοῦ ἐπιταφίου περὶ τὸν ναὸν ἢ περὶ τὴν μονήν. Κατὰ τὴν διαρκειαν δὲ τῆς περιφορᾶς ταύτης οἱ ψάλται ψάλλουσιν, ὡς εἴρηται, τὸ ᾀσματικόν, καὶ τούτου συμπληρωθέντος ἐπισυνάπτουσι τὸ τροπάριον· *Τὸν ἥλιον κρύψαντα...*Μετὰ τῆς αὐτῆς δὲ παρα-

τάξεως ἐπανερχόμεθα εἰς τὸν ναόν, ἔνθα ἀποτίθεται ὁ ἐπιτάφιος εἰς τὸ μέσον ὁ δὲ ἱερεὺς μετὰ τοῦ διακόνου εἰσέρχονται εἰς τὸ ἱερόν. Συμπληρωθέντος δὲ ἤδη καὶ τοῦ μέλους τῶν ψαλτῶν, ἐκφωνεῖ ὁ ἱερεὺς ἐκ τοῦ βήματος· *Πρόσχωμεν...Εἰρήνη πᾶσι...Σοφία...*καὶ εὐθὺς ψάλλων τό· *Ὁ εὐσχήμων Ἰωσήφ...*ἐξέρχεται, προπορευομένου τοῦ διακόνου καὶ θυμιῶντος καὶ λαμβάνει τὸν ἐπιτάφιον ἐκ τοῦ κουβουκλίου καὶ ἐναποτίθησι τοῦτον ἐπὶ τῆς ἁγίας τραπέζης. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ τροπαρίου· *Ὁ εὐσχήμων Ἰωσήφ...*ὁ ἀναγνώστης ἀναγινώσκει τὸ τροπάριον τῆς προφητείας· *Ὁ συνεχῶν τὰ πέρατα...*ἅπαξ, καὶ εὐθὺς τὸ προκείμενον καὶ τὴν προφητείαν. Εἶτα ἐκφωνοῦντος τοῦ διακόνου· *Προσχωμεν...*λέγει τὸ προκείμενον τοῦ ἀποστόλου, καὶ τὸν ἀπόστολον, μεθ' ὁ ψάλλομεν τό· *Ἀλληλουϊάριον...*ἀναγινώσκει δὲ ὁ ἀναγνώστης τοὺς στίχους αὐτοῦ. Καὶ ὁ ἱερεὺς τὸ εὐαγγέλιον ἐκ τῆς ὡραίας πύλης. Μεθ' ὃ ὁ διάκονος τὴν ἐκτενῆ· *Εἴπωμεν πάντες...*ὁ ἱερεὺς τὴν ἐκφώνησιν, ὁ διάκονος τό· *Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν...*καὶ τὰ λοιπά, ὡς συνήθως. Εἶτα ὁ διάκονος· *Σοφία...*ὁ ἱερεύς· *Ὁ ὢν εὐλογητός...*ὁ προεστώς· *Στερεώσαι...*ὁ ἱερεύς· *Ὑπεραγία Θεοτόκε...*ὁ ἀναγνώστης· *Τὴν τιμιωτέραν...*καὶ ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν μεγάλην μετὰ τοῦ χαρακτηριστικοῦ· *Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ Πάθη, καὶ τὸν ζωοποιὸν Σταυρόν, καὶ τὴν ἑκούσιον ταφήν, σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...*

## Ἐν ταῖς ὥραις

Τὰς ὥρας λέγομεν ἐν τῷ νάρθηκι λιτῶς οὕτω: Περὶ ὥραν ἕκτην τῆς ἡμέρας σημαίνει, καὶ συναχθέντες ἐν τῷ νάρθηκι, εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν· *Βασιλεῦ οὐράνιε...Τρισάγιον...Κύριε ἐλέησον* ιβ΄. *Δεῦτε προσκυνήσωμεν...*γ΄ καὶ τοὺς τρεῖς ψαλμοὺς τῆς α΄ ὥρας· μεθ' οὓς *Δόξα...Καὶ νῦν...Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα,* γ΄. *Κύριε ἐλέησον* γ΄, τὰ ἀπολυτίκια· *Ὁ εὐσχήμων Ἰωσήφ...Ὅτε κατῆλθες...*Δόξα· *Ταῖς μυροφόροις...*Καὶ νῦν...τὸ θετοκίον τῆς ὥρας· *Τί σὲ καλέσωμεν...*Εἶτα χῦμα· *Τὰ διαβήματά μου...Τρισάγιον...*τὸ κοντάκιον· *Τὴν ἄβυσσον ὁ κλείσας... Κύριε ἐλέησον* μ΄. *Ὁ ἐν παντὶ καιρῷ...Κύριε ἐλέησον* γ΄. *Τὴν τιμιω-*

*τέραν...Ἐν ὀνόματι Κυρίου...*Ὁ ἱερεὺς· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς...*καὶ ἡ εὐχή· *Χριστὲ τὸ φῶς τὸ ἀληθινόν...*Μεθ' ἣν εὐθὺς· *τρισάγιον...Κύριε ἐλέησον* ιβʹ. *Δεῦτε προσκυνήσωμεν...*γʹ καὶ ἐπισυνάπτομεν τὴν γʹ ὥραν, κατὰ τὴν αὐτὴν τάξιν. Μετὰ δὲ τὴν εὐχὴν· *Δεσπότα Θεέ...*εὐθὺς τό· *Δεῦτε προσκυνήσωμεν...*γʹ καὶ ἐπισυνάπτομεν τὴν ἕκτην ὥραν, κατὰ τὴν αὐτὴν τάξιν ὡς καὶ τὴν αʹ ὥραν. Συμπληρωθείσης δὲ τῆς εὐχῆς· *Θεὲ καὶ Κύριε τῶν δυνάμεων...*εὐθὺς ἐπισυνάπτομεν καὶ τὴν θʹ λέγοντες· *Τρισάγιον...Κύριε ἐλέησον* ιβʹ. *Δεῦτε προσκυνήσωμεν...*γʹ, τοὺς τρεῖς ψαλμοὺς τῆς θʹ ὥρας καὶ τὰ ἑξῆς, κατὰ τὴν ἀνωτέρω τάξιν. Μετὰ δὲ τὴν εὐχὴν· Δεσπότα *Κύριε Ἰησοῦ Χριστὲ ὁ μακροθυμήσας...*ἐπισυνάπτομεν εὐθὺς χῦμα καὶ τοὺς μακαρισμούς...Εἶτα· *Χορὸς ὁ ἐπουράνιος...*κτλ, *Πιστεύω εἰς ἕνα Θεόν...Ἄνες ἄφες...Πάτερ ἡμῶν...*Τὸ κοντάκιον· *Τὴν ἄβυσσον ὁ κλείσας...Κύριε ἐλέησον* ιβʹ καὶ εὐθὺς ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν μικρὰν μετὰ τοῦ ἐν τῷ ὄρθρῳ προγραφέντος χαρακτηριστικοῦ.

## Εἰς τὸν Ἑσπερινὸν

Περὶ ὥραν ιʹ τῆς ἡμέρας σημαίνει τὸν ἑσπερινόν. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ διακόνου λαμβάνουσιν ὡς ἔθος καιρὸν καὶ ἀλλάσσουσι στολὴν λευκὴν καὶ φελόνια μαῦρα. Καὶ ἐξελθὼν ὁ διάκονος λέγει· *Εὐλόγησον Δεσπότα...*Ὁ ἱερεὺς ἐκφωνεῖ· *Εὐλογημένη ἡ βασιλεία...*ὁ δὲ προεστὼς· *Δεῦτε προσκυνήσωμεν...*γʹ καὶ ἀναγινώσκει τὸν προοιμιακόν, μεθ' ὃν γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ διακόνου. Εἶτα ψάλλομεν τό· *Κύριε ἐκέκραξα...*ἐν ᾧ ἱστῶμεν στίχους ηʹ καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ αʹ ἤχου γʹ· *Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς...Κυκλώσατε λαοὶ Σιών...Δεῦτε λαοὶ ὑμνήσωμεν...*καὶ τὸ πρῶτον ἀναστάσιμον ἀποστίχον· *Τῷ πάθει σου Χριστέ...*Εἶτα τὰ γʹ ἰδιόμελα τοῦ Μεγάλου Σαββάτου· *Σήμερον ὁ ᾍδης στενῶν βοᾷ· Συνέφερέ μοι...Σήμερον ὁ ᾍδης στένων βόᾳ· Καταλύθη μου ἡ ἐξουσία...Σήμερον ὁ ᾍδης στένων βοᾷ· Κατεπόθη μου τὸ κράτος...* δευτεροῦντες τὸ αʹ. Δόξα· *Τὴν σήμερον μυστικῶς...*Καὶ νῦν τὸ αʹ θεοτοκίον τοῦ αʹ ἤχου· *Τὴν παγκόσμιον δόξαν...*Ψαλλομένου δὲ τοῦ κεκραγαρίου καὶ τῶν στίχων αὐτοῦ θυμιᾷ ὁ διάκονος τὸν ναὸν ὡς συνήθως, καὶ μετὰ τὸ ὑποστρέψαι τὸν διάκονον, ποιεῖ μετ' αὐτοῦ τὴν προσκο-

μιδήν, ψαλλομένων τῶν στιχηρῶν. Μετὰ δὲ τό· *Τὴν παγκόσμιον δόξαν...* γίνεται εἴσοδος μετὰ τοῦ Εὐαγγελίου τό· *Φῶς ἱλαρόν...*Προκείμενον δέ οὐ λέγομεν, ἀλλ' εὐθὺς ὁ ἀναγνώστης· *Γενέσεως τὸ ἀνάγνωσμα...*καὶ ἀναγινώσκει τὰ ιε΄ ἀναγνώσματα, ἐκφωνοῦντος ἐν ἑκάστῳ τοῦ διακόνου· *Σοφία, πρόσχωμεν...*Ὅταν φθάσῃ ὁ ἀναγνώστης ἐν τῷ δεκάτῳ πέμπτῳ ἀναγνώσματι εἰς τό· *Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας*, ἀνιστάμεθα ἐνταῦθα, καὶ ἄρχεται ὁ δεξιὸς χορὸς ψάλλων εἰς ἦχον πλ.β΄· *Τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας...*Εἶτα ὁ ἀναγνώστης λέγει τοὺς στίχους πάντας τῆς η΄ ᾠδῆς· *Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον...*καὶ τοὺς λοιποὺς οἱ δὲ χοροὶ μεθ' ἕνα ἕκαστον τῶν στίχων αὐτῶν ψάλλουσι τὸ αὐτό· *Τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας...*Ὅταν δὲ ὁ ἀναγνώστης φθάσῃ εἰς τό· Εὐλογοῦμεν *Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα τὸν Κύριον*, ψάλλει ὁ δεξιὸς χορός· *Τὸν Κύριον ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας*, εἶτα ὁ ἀναγνώστης· *Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον...*καὶ ὁ ἀριστερὸς χορὸς ψάλλει· *Τὸν Κύριον ὑμνοῦμεν καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας...*Μεθ' ὃ γίνεται μικρὰ συναπτή· *Τοῦ Κυρίου δεηθῶμεν...Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...*Καὶ μετ' αὐτὴν ἀντὶ τοῦ τρισαγίου ψάλλομεν τό· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε...*Εἶτα ὁ διάκονος· *Πρόσχωμεν.* Ὁ ἀναγνώστης· *Προκείμενον τοῦ ἀποστόλου ἦχος πλ.β΄, καὶ* ἀναγινώσκει τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ καὶ εἶτα τὸν ἀπόστολον, ὡς ἔθος· ἐν τῷ προκειμένῳ δέ· *Ψαλμὸς τῷ Δαυΐδ,* οὐ λέγει. Μετὰ δὲ τὴν συμπληρῶσιν τοῦ ἀποστόλου, *Ἀλληλούϊα* οὐ λέγομεν, ἀλλ' εὐθὺς ὁ ἱερεύς, ἀποβαλὼν ἤδη τὸ μαῦρον φελόνιον καὶ ἀντ' αὐτοῦ φορέσας λευκόν, ἄρχεται ψαλλὼν εἰς ἦχον βαρὺν τό· Ἀ*νάστα ὁ Θεὸς κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι,* καὶ ἐξερχόμενος ἐν ταὐτῷ ἐκ τῶν ἁγίων θυρῶν κρατῶν δίσκον πλήρη δαφνῶν, προχωρεῖ μέχρι τῶν βασιλικῶν πυλῶν σκορπίζων ἔνθεν κακεῖθεν δάφνας εἰς ἅπαντα τὸν ναόν.

Οἱ δὲ χοροὶ ἐπαναλαμβάνουσι ψάλλοντες τὸ αὐτὸ ἑξάκις, ἐναλλάξ, τοῦ ἀναγνώστου ἀναγινώσκοντος χῦμα πρὸ ἑκάστου ἀνὰ ἕνα ἕκαστον ἐκ τῶν

ἐξ στίχων τοῦ πα΄ ψαλμοῦ· *Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν* κτλ. Μετὰ δὲ τὴν συμπληρῶσιν τοῦ τελευταίου· *Ἀνάστα ὁ Θεός*...εὐθὺς ὁ ἱερεὺς πρὸ τῶν ἁγίων θυρῶν λέγει· *Σοφία ὀρθοὶ* κτλ. καὶ ὁ διάκονος ἀπὸ τοῦ ἄμβωνος ἀναγινώσκει τὸ εὐαγγέλιον· *Ὀψὲ Σάββατον τῇ ἐπιφωσκούσῃ*...Καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ, ψάλλομεν τὸ τροπάριον· *Σιγησάτω πᾶσα σὰρξ βροτεία*...εἰς ἦχον πλ.α΄. Γίνεται δὲ ἡ μεγάλη εἴσοδος, εἰς τό: *καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ·* καὶ μετὰ τὴν εἴσοδον, ψάλλει ὁ ἀριστερὸς τὸ ὑπόλοιπον: *Τὰς ὄψεις καλύπτοντα καὶ βοῶντα τὸν ὕμνον Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.* Κοινωνικὸν· *Ἐξηγέρθη ὡς ὁ ὕπνων Κύριος καὶ ἀνέστη σῴζων ἡμᾶς. Ἀλληλούϊα.* Ἀντὶ δὲ τοῦ· *Εἴδομεν τὸ φῶς*... ψάλλομεν εἰς ἦχον β΄ εἱρμολογικὸν τὸ· *Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.* Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*...ἐκ γ΄, εἶτα *Δόξα, καὶ νῦν*...καὶ ὁ ψαλμὸς· *Εὐλογήσω τὸν Κύριον*...μεθ' ὃν ἀπόλυσις μεγάλη οὕτω: *Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν*...Τὸ δὲ· *Ὑψώσω σὲ ὁ Θεός μου*... οὐ λέγεται, ὅτι οὐχ ἱστῶμεν τράπεζαν. Μετὰ δὲ τὴν ἀπόλυσιν δίδοται τὸ κατακλαστὸν ὑπὸ τοῦ ἱερέως. Εἶθ' οὕτω προτεθέντων τῶν πέντε ἄρτων καὶ τοῦ οἴνου μετὰ τοῦ ἐλαίου ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἔρχεται ἐπ' αὐτὰ ὁ ἱερεὺς μετὰ τοῦ θυμιατοῦ καὶ ψαλλόντων τῶν χορῶν τὸ· *Θεοτόκε Παρθένε*...θυμιᾷ κύκλῳ αὐτοὺς ὡς ἔθος· εἶτα γίνεται ἡ συνήθης τῶν ἄρτων εὐλόγησις, μεθ' ἣν τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*...ἐκ γ΄ χῦμα, *Δόξα...καὶ νῦν*...καὶ ὁ ψαλμὸς· *Εὐλογήσω τὸν Κύριον*...ἄχρι τοῦ μέσου, καὶ ψάλλεται τὸ· *Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν*...Εἶτα· *Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογία Κυρίου καὶ ἔλεος*...καὶ τίθεται ἀνάγνωσις μεγάλη εἰς τὰς πράξεις τῶν ἁγίων ἀποστόλων.

Ὀφείλει δὲ ἔχει ἀκρίβειαν ὁ ἐκκλησιάρχης, ἵνα, ὅταν ἀπολύσῃ ἡ ἐκκλησία τῆς λειτουργίας, ὑπάρχῃ ὥρα β΄ τῆς νυκτός. Μετὰ δὲ τὴν ἀπόλυσιν οὐκ ἐξερχόμεθα τῆς ἐκκλησίας, ἀλλὰ καθήμεθα ἐν τοῖς τόποις ἡμῶν, καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων ὡς ἄνω εἴρηται· μεθ' ἣν ἀναγινωσκόμενου τοῦ ψαλμοῦ· *Εὐλογήσω τὸν Κύριον*... εἰσέρχεται ὁ κελλαρίτης (ἐν ταῖς ἐνορίαις ὁ ταχθεὶς ἀδελφός), καὶ ἐπιδίδωσι τοῖς

ἀδελφοῖς ἀνὰ κλάσμα τοῦ ἄρτου, καὶ ἀνὰ ἓξ ἰσχάδων ἢ φοινίκων, καὶ ἀπὸ ἑνὸς κροσοβολίου οἴνου. Ἀρξαμένης δὲ τῆς ἀναγνώσεως, ἀρχόμεθα ἐσθίειν. Ἑξακολουθεῖ δὲ ἡ ἀνάγνωσις μέχρι τῆς ε´ ὥρας τῆς νυκτός, ὅτε παύει ἡ ἀνάγνωσις καὶ ἄρχεται ἡ παννυχὶς καὶ μετ᾽ αὐτὴν ὁ ὄρθρος τοῦ Πάσχα, ὡς ἐν τῷ Πεντηκοσταρίῳ καθορίζονται.